Τάδε λέγει κύριος· Ἀνθ’ ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν καὶ τὸν κόσμον αὐτῶν καὶ τὰ ἐμπλόκια καὶ τοὺς κοσύμβους καὶ τοὺς μηνίσκους καὶ τὸ κάθημα καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν καὶ τὴν σύνθεσιν τοῦ

---

**3 II$^{1}$1185** Deut. 22, 11 (Wahl, *Deuteronomium-Text*, p. 138) **6 II$^{1}$1186** Eccle. 9, 8$^{1}$ (Wahl, *Kohelet-Text*, p. 166) **9 – 676, 10 II$^{1}$1187** Is. 3, 16–24 (Wahl, *Prophetenzitate*, p. 296–300)

---

**2 – 3 II$^{1}$1185** K cap. I 3, 6 (179v[3]4–5); V cap. I 6, 4; PM cap. I 2, 4; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 61, 43–44 **5 – 6 II$^{1}$1186** K cap. I 3, 7 (179v[5]6); V cap. I 6, 5; PM cap. I 2, 5; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 61, 45 **8 – 676, 10 II$^{1}$1187** K cap. I 3, 8 (179v[mg]7–180r7); V cap. I 6, 7; PM cap. I 2, 7; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 61, 47 – 64, 15

---

**II$^{1}$1185** (a) K P (b) *s. a.* V (c) *s. d.* M **II$^{1}$1186** (a) K V P Τοῦ] *om.* V (b) Τοῦ Σιράχ *(ση- cod.)* M **II$^{1}$1187** (a) K (b) Ἡσαΐου V PM ἠσαϊου M, ησαϊου P

---

**3** Οὐκ – ἐπιτοαυτό] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* ἐνδύσει *(*εν- V$^{E}$*)* V$^{E}$V$^{O}$ ἐρίαν M λῖνον V$^{O}$, λινον P, λινοῦν V$^{W}$ M ἐπιτοαυτό] ἐν τῶ αὐτῶ V$^{E}$V$^{O}$ **9** θυγατέραις V$^{E}$ P **10** ὀφθαλμῶ M πορία V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$ PM **12** καὶ$^{1}$] κἂν K$^{a.\ c.\ ut\ videtur}$ **14** κόσμων V$^{W}$V$^{O\ a.\ c.}$ **14 – 16** αὐτῶν$^{2}$ – κόσμον] *om.* M **15 – 676, 2** καὶ$^{1}$ – ἐμπλόκιον] *om.* V$^{O}$

κόσμου τῆς δόξης καὶ τοὺς χλιδῶνας καὶ τὰ ψέλια καὶ τὸ ἐμπλόκιον καὶ τοὺς δακτυλίους καὶ τὰ περιδέξια καὶ τὰ ἐνώτια καὶ τὰ περιπόρφυρα καὶ τὰ μεσοπόρφυρα καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν καὶ τὰ διαφανῆ Λακωνικὰ καὶ τὰ βύσσινα καὶ τὰ ὑακίνθινα καὶ τὴν βύσσον σὺν χρυσίῳ καὶ ὑακίνθῳ συγκαθυφασμένην καὶ θέριστρα κατάκλιτα τοῦ χρυσίου. Καὶ ἔσται σοι ἀντὶ τῆς ὀσμῆς τῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς φαλάκρωμα ἕξεις, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ.

***II$^2$1665 / T cap. I 2, 8**

## II$^1$1188 / K cap. I 3, 9

Ἀπὸ τοῦ Σιράχ·

Ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ.

---

**13 II$^1$1188** Sir. 11, 4$^1$ (Wahl, *Sirach-Text*, p. 76)

---

**12 – 13 II$^1$1188** K cap. I 3, 9 (180r[7]8); V cap. I 6, 6; PM cap. I 2, 6; *deest in* H$^I$ L$^b$; PG 96, 61, 46

---

**II$^1$1188** (a) K (b) Τοῦ Σιράχ V$^W$ P Τοῦ] *om.* V$^W$ (c) Τοῦ αὐτοῦ M (d) *s. a.* V$^E$V$^O$

---

**1** χλιδόνας V$^E$, χλιδονας P, χληδόνας V$^W$, χλιδονος M ψέλλια V$^E$V$^W$, ψελλία M, ψελλια P **1 – 2** εμπλοκην P **2** τὰ$^2$] *om.* M **2 – 3** ταπεριπόρφυρα K, τὰ περὶ πόρφυρα *(*πορ- P*)* PM **3** τὰ$^3$] *om.* K **4** λακονικά V$^E$V$^O$, λακόνικα P, λακωνικὼ M, λακωνιακα *(sic)* K **5** χρυσῶ *(*-ω P*)* PM συνκαθυφασμένην V$^E$V$^O$ P, σὺν καθυφασμενην M **6** καὶ] *add.* τὰ V PM θεριστὰ V$^E$V$^O$ κατάκλιτα] *correxi (LXX)*, καὶ τὰ κλιτὰ *(*-α P, κλη- M, κλει- K*)* K V$^E$V$^W$ PM, καὶ τὴν κλΐτὰ V$^O$ **7** ἡδίας V$^E$, ἰδίας V$^O$, ϊδίας M σχοινίων M **8** κεφαλῆς] κεφαλῆς σου K φαλάκρομα V$^W$, φαλάκειωμα V$^O$ ἕξης *(*ἕ- V$^O$ M*)* V$^E$V$^O$ M **9 – 10** ἀντικαλλωπισμοῦ K V$^E$, ἀντικαλλοπισμοῦ *(*-μου P*)* V$^O$ PM **13** καυχίσει V$^E$V$^O$

## II¹1189 / K cap. I 3, 10

*II²1666 / T cap. I 2, 9

Ματθαίου, ἐν κεφαλαίῳ θʹ·

Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ.

## II¹1190 / K cap. I 3, 11

*II²1667 / T cap. I 2, 10

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῶν κανονικῶν διατάξεων·

Τὸν σκοπὸν τῆς χρήσεως τοῦ ἐνδύματος ὑπέβαλεν ἡμῖν ὁ Ἀπόστολος διὰ μιᾶς λέξεως, εἰπών· *Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*, ὡς τῆς σκέπης ἡμῶν προσδεομένων μόνης, οὐκέτι μέντοι καὶ τῆς ποικιλίας τοῦ ἀπ' αὐτῆς καλλωπισμοῦ, εἰς τὴν ἀπηγορευμένην περπερίαν ἐκπιπτόντων, ἵνα μὴ τί χεῖρον λέγω. Ταῦτα γὰρ ὕστερον ἐπεισήχθη διὰ τῆς περιέργου ματαιοτεχνίας τῷ βίῳ. Δηλοῖ δὲ καὶ ἡ πρώτη τῶν σκεπασμάτων χρῆσις, ἣν αὐτὸς ὁ θεὸς τοῖς ἐπιδεηθεῖσιν ἔδωκεν· *Ἐποίησεν* γὰρ

---

**8 – 9** I Tim. 6, 8 **14 – 678, 1** Gen. 3, 21

---

**3 – 4 II¹1189** Matth. 3, 4 **7 – 678, 6 II¹1190** Basilius Caesariensis, *Asceticon magnum sive Quaestiones (regulae fusius tractatae)*, XXII, 2 (PG 31, 977, 33 – 980, 3)

---

**2 – 4 II¹1189** K cap. I 3, 10 (180r[8]9–11); V cap. I 6, 8; PM cap. I 2, 8; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 64, 16–18 **6 – 678, 6 II¹1190** K cap. I 3, 11 (180r[11]12–180v5); V cap. I 6, 9; PM cap. I 2, 9; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 64, 19–36

---

**II¹1189** (a) K (b) Ματθαίου V$^{E}$V$^{O}$ (c) Κατὰ Ματθαῖον Εὐαγγελίου, κεφαλαίου θʹ PM Εὐαγγελίου] *om.* P (d) Τοῦ Εὐαγγελίου V$^{W}$ **II¹1190** (a) K P (b) Βασιλείου, ἐκ τῶν ἀσκητικῶν κανόνων M (c) Βασιλείου V βασιλίου V$^{W}$

---

**3** δὲ] *om.* V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$ PM ὁ] *om.* M τὸ] *om.* M ἀποτριχων P, ἀποτριχῶς V$^{O}$ καμήλων V$^{W\ a.\ c.}$ **4** ὀσφῦν K V$^{W\ a.\ c.}$, ὀσφυν P, ὀσφὴν V$^{O}$ αὐτοῦ PM **7** Τὸν] τὸ K$^{a.\ c.}$, τῶν V$^{O}$ τοῦ ἐνδύματος] τῶν ἐνδύματος V$^{O}$, *om.* K *(in mg. supplev. man. rec.)* **8** λέξεως] φωνῆς K διαστροφὰς K$^{p.\ c.}$, δὲ τροφὰς *(-*ας M*)* V PM καὶ] *om.* P **9** ἀρκεσθησώμεθα K, ἀρκεσθήσεσθαι V$^{E}$, ἀρκέσθη V$^{O}$ προδεομένων P **10** ἀπ' αὐτῆς] *om.* K **11** περπερίαν] περίαν V$^{O}$ ἐκπιπτώντων P, ἐκπιπτοντα *(sic)* M τί] *om.* V$^{W\ a.\ c.}$ **12** λεγων M γὰρ] δὲ V$^{W}$ **12 – 13** διὰ – ματαιοτεχνίας] *om.* K **13** τῷ βίῳ] *om.* V PM σκεπαμάτων V$^{W\ a.\ c.}$ **14** δέδωκεν V PM γὰρ] *om.* K

αὐτοῖς *ὁ θεός*, φησίν, *χιτῶνας δερματίνους*. Πρὸς γὰρ τὴν τῶν ἀσχημόνων ἐπικάλυψιν ἐξήρκει καὶ ἡ τοιαύτη τῶν χιτώνων χρῆσις. Ἐπειδὴ δὲ ἕτερος σκοπὸς συνεισέρχεται, τοῦ θάλπεσθαι διὰ τῶν σκεπασμάτων, ἀνάγκη ἀμφοτέρων ἐστοχασμένην τὴν χρῆσιν εἶναι, τοῦ τε περιστέλλειν ἡμῶν τὰ ἀσχήμονα καὶ τοῦ ἀλεξήματα εἶναι πρὸς τὴν τῶν ἀέρων βλάβην.

***II$^{2}$1668 / T cap. I 2, 11**

## II$^{1}$1191 / K cap. I 3, 12

Ἐκ τῶν αὐτῶν·

Τῆς χρήσεως τὸ μέτρον ἡ ἀπαραίτητος ἀνάγκη τῆς χρείας· ἡ δὲ ὑπὲρ τὴν χρείαν, πλεονεξίας ἢ φιληδονίας ἢ κενοδοξίας ἔχει τὴν νόσον.

## II$^{1}$1192 / K cap. I 3, 13

Ἐκ τοῦ πρὸς νέους·

Τὸ κουρὰς καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι, ἢ δυστυχούντων ἐστί, κατὰ τὸν Διογένους λόγον, ἢ ἀδικούντων· ὡς

---

**14 – 15** cf. Diogen. Laert., *De clarorum philosophorum vitis*, VI, 54, 5–6

---

**9 – 11 II$^{1}$1191** Basilius Caesariensis, *Asceticon magnum sive Quaestiones (regulae brevius tractatae)*, LXX (PG 31, 1132, 36–39) **14 – 679, 5 II$^{1}$1192** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, IX, 3, 1 – 4, 4 (ed. Naldini, p. 118)

---

**8 – 11 II$^{1}$1191** K cap. I 3, 12 (180v[5]6–8); V cap. I 6, 10; PM cap. I 2, 10; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 64, 36–39 **13 – 679, 5 II$^{1}$1192** K cap. I 3, 13 (180v[mg]9–17); *deest in* V H$^{I}$ PML$^{b}$

---

**II$^{1}$1191** (a) K P (b) Τοῦ αὐτοῦ V$^{E}$V$^{O}$ (c) *s. a.* V$^{W}$ (d) *s. d.* M

---

**1** αὐτοὺς V$^{E}$V$^{O}$ φησίν] *om.* V PM δερματίνους] *add.* καὶ ἐνέδυσεν αὐτούς V$^{E}$V$^{O}$ *(= LXX)* **2** ἀποκάλυψιν M **3** δὲ] καὶ V$^{O}$, δὲ καὶ *ed.* ἐπεισέρχεται K **4** ἀμφοτέρων] *post* ἐστοχασμένην *transpos.* K ἐστοχασμένην] *scripsi (ed.)*, ἐστοχασμένων PM, -μένως V, -μένος K χρῆσιν] κρίσιν V$^{E}$V$^{O}$ **5** ἡμῶν] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* τοῦ$^{2}$] *om.* M ἀλεξήμονα M **6** τῶν] *praem.* ἐκ V P, *praem.* εἰς M$^{\text{ut videtur}}$ τον ἄερα *(sic)* M **9** ἡ$^{2}$] εἰ V$^{E}$V$^{O}$ P **10** φιληδονίας – κενοδοξίας] κενοδοξίας ἢ φιδολειας M **14** κουρὰς] *scripsi (ed.)*, κοῦρας K **15 – 679, 1** ὡς τὸ] ὥστε *ed.*

τὸ καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρόν †φημὶ δὴ τοὺς τηλικούτους†, ὡς τὸ ἑταιρεῖν ἢ τὸ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ διαφέρει, τῷ γε νοῦν ἔχοντι, ξυστίδα ἀναβεβλῆσθαι ἤ τι τῶν φαύλων ἱμάτιον φορεῖν, ἕως μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξιτήρια;

## II$^1$1193 / K cap. I 3, 14

***II$^2$1670 / T cap. I 2, 13**

Ἐκ τῆς δʹ ἐπιστολῆς·

Σκοπὸς ἐσθῆτος εἷς, κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὔταρκες.

## II$^1$1194 / K cap. I 3, 15

Ἐκ τῆς θʹ ἐπιστολῆς·

Τὸ ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν, ἀλλοτρίῳ ἄνθει παρειὰς καὶ τρίχας ἑαυτῶν βάπτουσαι.

**8 – 9 II$^1$1193** Basilius Caesariensis, *Epistulae*, II, 6, 10–12 (ed. Courtonne, I, p. 11) **12 – 14 II$^1$1194** Basilius Caesariensis, *Epistulae*, II, 6, 13–16 (ed. Courtonne, I, p. 11)

**7 – 9 II$^1$1193** K cap. I 3, 14 (180v[mg]18–19); V cap. I 6, 11; PM cap. I 2, 11; *deest in* H$^I$ L$^b$; PG 96, 64, 39–40 **11 – 14 II$^1$1194** K cap. I 3, 15 (180v[19]20–23); *deest in* V H$^I$ PML$^b$

**II$^1$1193** (a) K δʹ] *sic* K *(cf. lemma loci sequentis)* (b) Τοῦ Θεολόγου, εἰς τὰ Θεοφάνια PM (c) Θεολόγου V$^W$ (d) *s. a.* V$^E$V$^O$ **II$^1$1194** θʹ] *sic* K *(cf. lemma loci praecedentis)*

**1 – 2** †φημὶ – τηλικούτους†] *cruces apposui*, *sic* K, ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους *ed.* **1 – 2** δὴ τοὺς] *e corr.* K **3** ξυστίδα] *correxi (ed.)*, ξύσταδα K **4** ἤ τι] *correxi (ed.)*, ἢ τί K ἱμάτιον] *correxi (ed.)*, ἱματίων K ἐνδέῃ] *correxi (ed.)*, ἐνδεῇ K **8** ἐσθῆτος V$^E$, ἐσθητος M, αἰσθητὸς *(-ος P)* V$^W$ P εἷς] εἰς K V$^W$, εις P **8 – 9** χειμῶνα – θέρος] θερος καὶ χειμῶν *(sic)* M **8** χειμῶνα] χειμῶνά τε K **8 – 9** θερους V$^W$

*II$^2$1669 / T cap. I 2, 12

## II$^1$1195 / K cap. I 3, 16

Ἐκ τοῦ εἰς τὰ Θεοφάνεια·

Μὴ ἐσθῆτι μαλακισθῶμεν ἁπαλῇ τε καὶ περιρρεούσῃ, καὶ ἧς τὸ κάλλιστον ἀχρηστία.

*II$^2$1671 / T cap. I 2, 14

## II$^1$1196 / K cap. I 3, 17

Ἐκ τοῦ εἰς τὴν ἀδελφὴν ἐπιταφίου·

Οὐ χρυσὸς ἐκείνῃ ἦν κόσμος, ἐν τέχνῃ πονηθεὶς εἰς κάλλους περιουσίαν, οὐ ξανθαὶ πλοκαμίδες διαφαινόμεναί τε καὶ ὑποφαινόμεναι, καὶ βοστρύχων ἕλικες, σοφίσματα σκηνοποιούντων τὴν τιμίαν κεφαλὴν ἀτιμότατα, οὐκ ἐσθῆτος περιρρεούσης καὶ διαφανοῦς πολυτέλεια, οὐ λίθων αὐγαὶ καὶ χάριτες χρωννῦσαι τὸν πλησίον ἀέρα καὶ τὰς μορφὰς περιλάμπουσαι, οὐ ζωγράφων τέχναι καὶ γοητεύματα καὶ τὸ εὔωνον κάλλος, ἀλλὰ τὴν ῥέουσαν εὐμορφίαν ταῖς ἐπὶ θεάτρων παρῆκεν καὶ τριόδων καὶ ὅσαις αἰσχύνη καὶ ὄνειδος τὸ αἰσχύνεσθαι.

---

**3–4 II$^1$1195** Gregorius Nazianzenus, *In Theophania (Orat. 38)*, 5, 6–7 (ed. Moreschini, p. 110) **7–13 II$^1$1196** Οὐ – κάλλος] Gregorius Nazianzenus, *In laudem sororis Gorgoniae (Orat. 8)*, 10, 5–13 (ed. Calvet-Sebasti, p. 264–266) **13–15** ἀλλὰ – αἰσχύνεσθαι] Ibid., 10, 23–25 (p. 266)

---

**2–4 II$^1$1195** K cap. I 3, 16 (180v[23]181r1–2); V cap. I 6, 12; PM cap. I 2, 12; *deest in* H$^I$ L$^b$; PG 96, 64, 41–42 **6–15 II$^1$1196** K cap. I 3, 17 (181r[2]3–13); V cap. I 6, 13; PM cap. I 2, 13; *deest in* H$^I$ L$^b$; PG 96, 64, 43–53

---

**II$^1$1195** (a) K (b) Τοῦ Θεολόγου V$^E$V$^O$ (c) Τοῦ αὐτοῦ V$^W$ PM **II$^1$1196** (a) K (b) Τοῦ αὐτοῦ, εἰς τὴν ἀδελφὴν αὐτοῦ Γοργονίαν M (c) Εἰς τὴν ἀδελφὴν ἑαυτοῦ P (d) Τοῦ αὐτοῦ V

---

**3–4** Μὴ – ἀχρηστία] *om.* V$^W$ *(in mg. supplev. man. rec.)* **3** αἰσθητι V$^W$ P ἀπαλή τε V, ἀπαλή τε M, ἀπόλητε *(sic)* P καὶ$^2$] *om.* K P ἧς] εἴς V$^E$, εἰς V$^O$ **8–9** τε – ὑποφαινόμεναι] *om.* V$^W$ *(in mg. supplev. man. rec.)* **10** ἀτιμώτατα V M εσθῆτος M, αισθῆτος *e corr.* V$^W$, αἰσθητος P, ἐσθητὸς V$^O$ περιρρεούσης] περιρεούσης V$^{W\ a.c.}$ P, περὶρεούσης M **11** πολυτελείας K V$^O$, πολυτελίας M οὐ] *om.* M χρωννυσαι PM, χροννῦσαι K, χρώνουσαι V$^E$V$^O$ **12** ζογράφων V$^E$V$^O$ **14** ταῖς] τοῖς M θεάτρων] θέατρον K V$^{W\ a.c.}$ τριόδων] προόδων M **14–15** καὶ ὄνειδος] *om.* K

## II$^1$1197 / K cap. I 3, 18

*II$^2$1672 / T cap. I 2, 15

Τοῦ μακαρίου Κυρίλλου, ἐκ τοῦ ιε′ λόγου τῶν κατὰ Ἰουλιανοῦ·

Τὸ εὐϊματεῖν μειρακιῶδες ἐστὶ μόνον, καὶ ἐν μόνῃ δοκήσει τὸ ἡδὺ ἔχει, καὶ τοὺς ὀφθαλμοὺς διαπαίζει.

## II$^1$1198 / K cap. I 3, 19

*II$^2$1673 / T cap. I 2, 16

Κλήμεντος, ἐκ τοῦ ς′ Στρώματος·

Αἱ τῶν ἀναγκαίων κτήσεις καὶ χρήσεις οὐ τὴν ποιότητα βλαβερὰν ἔχουσιν, ἀλλὰ τὴν παρὰ τὸ μέτρον ποσότητα.

## II$^1$1199 / K cap. I 3, 20

*II$^2$1674 / T cap. I 2, 17

Ἐκ τοῦ β′ Παιδαγωγοῦ·

Οὐ κατὰ πάντα σκορακιστέον τὴν χρῆσιν, ἀλλ’ ὥσπερ φαρμάκῳ καὶ βοηθήματι χρηστέον τῷ μύρῳ.

---

**3 – 4 II$^1$1197** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XV (?) (fr. 33, ed. Kinzig/Brüggemann, p. 784) **7 – 8 II$^1$1198** Clemens Alexandrinus, *Stromata*, VI. Cap. XII. 99, 6 (ed. Stählin/Früchtel/Treu, p. 481, 33 – 482, 1) **11 – 12 II$^1$1199** Clemens Alexandrinus, *Paedagogus*, II. Cap. VIII. 68, 2 (ed. Stählin/Treu, p. 198, 10–11)

---

**2 – 4 II$^1$1197** K cap. I 3, 18 (181r[13–14]15–16); V cap. I 6, 14; PM cap. I 2, 14; *deest in* H$^I$ L$^b$; PG 86, 2084, 2–5; PG 96, 65, 1–3 **6 – 8 II$^1$1198** K cap. I 3, 19 (181r [mg]17–19); V cap. I 6, 15; PM cap. I 2, 15; *deest in* H$^I$ L$^b$; PG 96, 65, 5–6 **10 – 12 II$^1$1199** K cap. I 3, 20 (181r[19]20–22); V cap. I 6, 16; PM cap. I 2, 16; *deest in* H$^I$ L$^b$; PG 96, 65, 7–8

---

**II$^1$1197** (a) K Ἰουλιανοῦ] *scripsi*, ἰουλιανόν *cod.* (b) Κυρίλλου, κατὰ Ἰουλιανοῦ P ϊουλιανου P (c) Κυρίλλου *(*κυρι- *cod.)*, ἐκ τοῦ κειμένου Ἰουλιανοῦ *(*ϊουλιάνου *cod.)* M (d) Κυρίλλου V κυρίλου V$^W$ **II$^1$1198** (a) K PM κλημεντος K M ς′] ἕκτου P στρωματέως M (b) Κλήμεντος V **II$^1$1199** (a) K PM (b) *s. a.* V

---

**4** διαπαίζει] διαπρέπει V$^W$ **7** καὶ χρήσεις] *om.* V PM **11** κορακιστέον K **12** τῷ] τὸ V$^E$

# Στοιχεῖον Κ

**<Τίτλος α′> Περὶ καρδίας, καὶ ὅτι ἐν καρδίᾳ τὸ ἡγεμονικὸν ἵδρυται.**

### II$^{1}$1200 / K cap. K 1, 1

Βασιλειῶν γʹ·

Εἶπεν Σολομών· Δός, κύριε, τῷ δούλῳ σου καρδίαν φρονίμην, ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ. Καὶ εἶπεν κύριος πρὸς Σολομών· Ἰδοὺ ἐπήκουσά σου, καὶ ἔδωκά σοι καρδίαν φρονίμην καὶ σοφήν.

### II$^{1}$1201 / K cap. K 1, 2

Τῶν Παροιμιῶν·

Ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς ἀναπαύεται σοφία.

### II$^{1}$1202 / K cap. K 1, 3

Τοῦ αὐτοῦ·

Υἱέ, ἐὰν σοφὴ γένηται ἡ καρδία σου,
εὐφραίνῃς καὶ τὴν ἐμὴν καρδίαν.

---

**6 II$^{1}$1200** Εἶπεν Σολομών] III Reg. 3, 6 (Wahl, *3 Könige-Text*, p. 103) **6 – 7** Δός – δικαιοσύνῃ] Ibid. 3, 9 (Wahl, p. 103) **7 – 9** Καὶ – σοφήν] Ibid. 3, 11–12 (Wahl, p. 103) **12 II$^{1}$1201** Prov. 14, $33^{1}$ (Wahl, *Proverbien-Text*, p. 73–74) **15 – 16 II$^{1}$1202** Prov. 23, $15^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 110)

---

**1 Stoicheion** K$^{txt}$ (181r22) K$^{pin}$ **2 – 3 Titlos** K (181r22–23) **5 – 9 II$^{1}$1200** K cap. K 1, 1 (181r[23]181v1–5) **11 – 12 II$^{1}$1201** K cap. K 1, 2 (181v[5]6) **14 – 16 II$^{1}$1202** K cap. K 1, 3 (181v[mg]7–8)

---

**2 – 3 Titlos 2** Τίτλος α′] *supplevi e* K$^{pin}$, *om.* K$^{txt}$ *(α′ secund. ser.)*

## II$^1$1203 / K cap. K 1, 4

Τῶν αὐτῶν·

Καρδία μου <ε>ἶδεν πολλά, καὶ σοφίαν καὶ γνῶσιν.

## II$^1$1204 / K cap. K 1, 5

Τῶν αὐτῶν·

Καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ.

## II$^1$1205 / K cap. K 1, 6

Τῶν αὐτῶν·

Ὕδωρ βαθὺ πολὺ ἐν καρδίᾳ ἀνδρός,
ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν.

## II$^1$1206 / K cap. K 1, 7

<***>

Θές με ὡς σφραγίδα ἐπὶ τὴν καρδίαν σου.

---

**3 II$^1$1203** Prov., re vera Eccle. 1, 16$^5$ (Wahl, *Kohelet-Text*, p. 148) **6 II$^1$1204** Prov., re vera Eccle. 8, 5$^2$ (Wahl, *Kohelet-Text*, p. 163) **9 – 10 II$^1$1205** Prov. 20, 5$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 97) **13 II$^1$1206** Cant. 8, 6$^1$

---

**2 – 3 II$^1$1203** K cap. K 1, 4 (181v[8]9) **5 – 6 II$^1$1204** K cap. K 1, 5 (181v[9]10) **8 – 10 II$^1$1205** K cap. K 1, 6 (181v[10]11–12) **12 – 13 II$^1$1206** K cap. K 1, 7 (181v13)

---

**II$^1$1206** *s. a.* K

---

**3** εἶδεν] *scripsi*, ἴδεν K **9** πολὺ] βουλὴ *LXX*

## II¹1207 / K cap. K 1, 8

Ἱερεμίου προφήτου·

Βαρεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας, καὶ ἄνθρωπός ἐστι· καὶ τίς γνώσεται αὐτόν; Ἐγὼ κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων νεφρούς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ.

## II¹1208 / K cap. K 1, 9

Βαρούχ·

Ἀναλάβωμεν τὰς καρδίας ἡμῶν πρὸς ὑψηλὸν ἐν οὐρανοῖς.

## II¹1209 / K cap. K 1, 10

Ἀπὸ τοῦ Σιράχ·

Καρδία συνετοῦ διανοηθήσεται παραβολήν.

## II¹1210 / K cap. K 1, 11

Τοῦ αὐτοῦ·

Λάρυγξ γεύεται βρώματα θήρας,
οὕτως καρδία συνετοῦ λόγους.

---

**3 – 5 II¹1207** Ier. 17, 9–10 (Wahl, *Prophetenzitate*, p. 531–532) **8 II¹1208** Bar., re vera Thren. 3, 41 **11 II¹1209** Sir. 3, 29¹ (Wahl, *Sirach-Text*, p. 51) **14 – 15 II¹1210** Sir. 36, 24¹⁻² (Wahl, *Sirach-Text*, p. 145)

---

**2 – 5 II¹1207** K cap. K 1, 8 (181v[13–14]15–18) **7 – 8 II¹1208** K cap. K 1, 9 (181v [18]19–20) **10 – 11 II¹1209** K cap. K 1, 10 (181v[20]21) **13 – 15 II¹1210** K cap. K 1, 11 (181v[21]22–23)

---

**8** ὑψηλὸν] *praem.* ὕψος K *(sed cancellav.)*

## $II^{1}$1211 / K cap. K 1, 12

Τοῦ αὐτοῦ·

Οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας.

## $II^{1}$1212 / K cap. K 1, 13

Τοῦ αὐτοῦ·

Εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου.

## $II^{1}$1213 / K cap. K 1, 14

Λουκᾶ εὐαγγελιστοῦ·

Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προσφέρει τὰ ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προσφέρει τὰ πονηρά· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα.

## $II^{1}$1214 / K cap. K 1, 15

Τοῦ αὐτοῦ·

Τὰ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κ<ο>ινοῖ τὸν ἄνθρωπον· ἐξέρχονται διαλογισμοὶ πονηροί, καὶ τὰ ἑξῆς.

---

**3 $II^{1}$1211** Sir. 30, $16^{2}$ (Wahl, *Sirach-Text*, p. 128–129) **6 $II^{1}$1212** Sir. 30, $22^{1}$ (Wahl, *Sirach-Text*, p. 129) **9 – 12 $II^{1}$1213** Luc. 6, 45 **15 – 17 $II^{1}$1214** Luc., re vera Matth. 15, 18–19 sqq.

---

**2 – 3 $II^{1}$1211** K cap. K 1, 12 (151v[23]182r1) **5 – 6 $II^{1}$1212** K cap. K 1, 13 (182r[1]2) **8 – 12 $II^{1}$1213** K cap. K 1, 14 (182r[2]3–7) **14 – 17 $II^{1}$1214** K cap. K 1, 15 (182r[7]8–10)

---

**16** κοινοῖ] *scripsi (NT)*, κινοῖ K

## II[1]1215 / K cap. K 1, 16

Τοῦ αὐτοῦ·

Ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

## II[1]1216 / K cap. K 1, 17

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν περὶ ἁγνείας συμποσίων·

Στήθη γὰρ καὶ φρένες, αἰσθητικῷ τινι λόγῳ, καὶ νοῦς ἡμῶν εἶναι ὀνομάζεται ἐν τῇ Γραφῇ.

## II[1]1217 / K cap. K 1, 18

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ γʹ λόγου τῆς Ἑξαημέρου·

Ἑκάστῳ ἀνθρώπῳ πρότερον ἀπὸ τῶν νοημάτων τύπος ἐγγίνεται τῇ νοήσει· ἔπειτα, μετὰ τὸ φαντασιωθῆναι, ἀπὸ τῶν ὑποκειμένων τὰς οἰκείας καὶ προσφυεῖς ἑκάστου σημασίας ἐκλεγόμενος ἐξαγγέλλει· εἶτα τῇ ὑπηρεσίᾳ τῶν φωνητικῶν ὀργάνων παραδοὺς τὰ νοηθέντα, οὕτως διὰ τῆς τοῦ ἀέρος τυπώσεως κατὰ τὴν ἔναρθρον τῆς φωνῆς κίνησιν τὸ ἐν τῷ κρυπτῷ νόημα σαφηνίζει.

---

**3 II[1]1215** Luc., re vera Matth. 12, 34 **6 – 7 II[1]1216** Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος δʹ, VI, 4 – 5 (ed. Musurillo, p. 140) **10 – 15 II[1]1217** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, III, 2 (ed. Mendieta†/Rudberg, p. 39, 23 – 40, 5)

---

**2 – 3 II[1]1215** K cap. K 1, 16 (182r[10]11) **5 – 7 II[1]1216** K cap. K 1, 17 (182r[12]13 – 14) **9 – 15 II[1]1217** K cap. K 1, 18 (182r[15]16 – 182v1)

---

**6** αἰσθητικῷ τινι] εἰκότι *ed.* **7** ὀνομάζεται – Γραφῇ] νομίζεται *ed.* **10** Ἑκάστῳ – νοημάτων] Πρότερον μὲν ὁ ἀπὸ τῶν πραγμάτων *ed.* **11** ὑποκειμένων] *scripsi*, ὑποκειμενον *(sic)* K

## II$^{1}$1218 / K cap. K 1, 19

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας·

Ἐπειδὴ καὶ τῶν παυσαμένων τοῦ ζῆν, κατασβεσθείσης τῆς ἐγκειμένης τῇ φύσει θερμότητος, τὸ σῶμα νεκρωθὲν καταψύχεται, διατοῦτο καὶ ἐν τῷ θερμῷ τὴν ζωτικὴν αἰτίαν κατενοήσαμεν. Οὗ γὰρ ἐπιλελοιπότος, ἡ νεκρότης ἐπηκολούθησεν, ἀνάγκη πᾶσα τῇ παρουσίᾳ τούτου συστῆναι τὸ ζῶον ὁμολογεῖσθαι. Τῆς δὲ τοιαύτης δυνάμεως οἱονεὶ πηγήν τινα καὶ ἀρχὴν τὴν καρδίαν κατενοήσαμεν, ἀφ᾽ ἧς αὐλώδεις πόροι πολυσχιδῶς ἄλλος ἐξ ἄλλου διαφυόμενοι, παντὶ <τῷ> σώματι τὸ θερμόν τε καὶ πυρῶδες διαχέουσι πνεῦμα.

## II$^{1}$1219 / K cap. K 1, 20

Τοῦ ἁγίου Ἐπιφανίου, ἐκ τῆς πρὸς τοὺς ἐν Σουέδροις ἐπιστολῆς·

Ἔθετο τὸν νοῦν ὁ θεός, ὅ<ν>περ εἴωθεν ἡ Γραφὴ καλεῖν καρδίαν, ἡγεμόνα ὡς εἰπεῖν καὶ ἡνίοχον τοῦ παντὸς σκεύους, διακριτικόν τε ἀγαθῶν καὶ φαύλων, δοκιμαστήν τε τῶν ἐν ἡμῖν ἐγγινομένων.

## II$^{1}$1220 / K cap. K 1, 21

Φίλωνος, ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Τὴν καρδίαν ἀντὶ τοῦ ἡγεμονικοῦ παρείληφεν ἡ Γραφή.

---

**3 – 11 II$^{1}$1218** Gregorius Nyssenus, *Contemplatio hominis (De opificio hominis)*, 30, 11 (ed. Forbesius, p. 300, 8–16) **14 – 16 II$^{1}$1219** Epiphanius Constantiensis, *Ancoratus*, 76, 6 (ed. Holl/Bergermann/Collatz, p. 96, 6–8) **19 II$^{1}$1220** Philo Iudaeus, *Quaestiones in Exodum*, II. 50a (ed. Petit, p. 272)

---

**2 – 11 II$^{1}$1218** K cap. K 1, 19 (182v[2]3–14) **13 – 16 II$^{1}$1219** K cap. K 1, 20 (182v [14]15–19) **18 – 19 II$^{1}$1220** K cap. K 1, 21 (182v[19]20–21); PG 86, 2084, 7–10

---

**5** Οὗ] *scripsi (ed.)*, οὑ K **7** τούτου] *scripsi (ed.)*, τοῦτο K **10** τῷ] *supplevi (ed.)*, *om.* K **14** ὅνπερ] *scripsi (ed.)*, ὅπερ K

*II$^2$ / R cap. K 19

**Τίτλος β′ Περὶ κρειττόνων, ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν.**

**ι′ Περὶ κρειττόνων, ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν.**

**ϛ′ Περὶ κρειττόνων, ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν.**

## II$^1$1221 / K cap. K 2, 1

Βασιλειῶν β′·

Προσέθετο Ἀβενὴρ λέγειν τῷ Ἀσαήλ· Ἀπόστηθι ἀπ᾽ ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν γῆν· καὶ ποῦ ἐστὶ ταῦτα; Ἐπίστρεφε σὺ πρὸς Ἰωὰβ τὸν ἀδελφόν σου. Καὶ οὐκ ἠβούλετο ἀποστῆναι. Καὶ τύπτει αὐτὸν Ἀβενὴρ ἐν τῷ ὀπίσω τοῦ δόρατος ἐπὶ τὴν ψόαν, καὶ διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ, καὶ ἀπέθανεν.

---

**1 – 2** Περὶ – φιλονεικεῖν] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Χ 18

---

**7 – 11 II$^1$1221** II Reg. 2, 22–23 (Wahl, *2 Samuel-Text*, p. 82–83)

---

**1 – 2 Titlos (a)** K (182v21–22) **3 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **4 Titlos (c)** PML$^{b\ pin}$; *deest in* L$^{b\ txt}$ **6 – 11 II$^1$1221** K cap. K 2, 1 (182v[22]23 –183r6); *deest in* V H$^I$ PML$^b$

---

**3 Titlos (b)** ι′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(ι′ secund. ser.)*, *praem.* τίτλος V$^{W\ txt}$ κρείττονας] κρείττους V$^{E\ txt}$ V$^{O\ txt}$ φιλονικεῖν *(*φιλω- V$^{E\ txt}$*)* V$^{E\ txt}$ V$^{W\ txt\ a.\ c.}$, φιλονικῶ V$^{O\ pin}$, φιλὼν V$^{O\ txt}$ **4 Titlos (c)** ὅτι – φιλονεικεῖν] *om.* M φιλονικεῖν P

---

7 λέγειν] *sic* K **10** ψόαν] *scripsi (LXX)*, ψωὰν K$^{a.\ c.}$, ψωιὰν K$^{p.\ c.}$

## $II^1$1222 / K cap. K 2, 2

Ἀπὸ τοῦ Ἰώβ·

Ἀσεβής, ὃς οὐκ ἠσχύνθη πρόσωπον ἐντίμου,
οὐδὲ οἶδε τιμὴν θέσθαι τούτοις.

## $II^1$1223 / K cap. K 2, 3

***$II^2$1826–1825 / R cap. K 19, 4–3**

Ἀπὸ τοῦ Σιράχ·

Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου,
μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.
Μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου,
μήποτε ἀντιστήσῃ τὴν μάχην αὐτοῦ.

## $II^1$1224 / K cap. K 2, 4

***$II^2$1827 / R cap. K 19, 5**

Τοῦ αὐτοῦ·

Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς,

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 19.-./5b. (ed. Ihm, p. 460)

---

**3 – 4 $II^1$1222** Iob 34, $19^{1-2}$ **7 – 10 $II^1$1223** Sir. 8, $1^1$–$2^2$ (Wahl, *Sirach-Text*, p. 67) **13 – 690, 3 $II^1$1224** Sir. 13, $2^{1-4}$ (Wahl, *Sirach-Text*, p. 81–82)

---

**2 – 4 $II^1$1222** K cap. K 2, 2 (183r[6]7–8); V cap. K 10, 1; PM cap. K 6, 1; *deest in* $H^I$ $L^b$; PG 96, 84, 5–6 **6 – 10 $II^1$1223** K cap. K 2, 3 (183r[8]9–11); V cap. K 10, 2; PM cap. K 6, 2; E cap. 159, 82; *deest in* $H^I$ $L^b$; PG 96, 84, 7–8 **12 – 690, 3 $II^1$1224** K cap. K 2, 4 (183r[11]12–15); $V^EV^O$ cap. K 10, 3; $V^W$ cap. K 10, 3–4; PM cap. K 6, 3–4; E cap. 159, 83; *deest in* $H^I$ $L^b$; PG 96, 84, 9–12

---

**$II^1$1222** (a) K (b) Ἰώβ V PM ἰώβ $V^E$, ϊώβ PM **$II^1$1223** (a) K (b) Σιράχ V P E (c) Τοῦ αὐτοῦ M **$II^1$1224** (a) K (b) *s. a.* $V^EV^O$ E (c) *s. a.* / Τοῦ αὐτοῦ $V^W$, Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ M, Τοῦ αὐτοῦ / *s. a.* P *(cf. infra, app. crit. text.)*

---

**3** ἀσεβεῖς $V^{O\ a.\ c.}$ M, -ῆς $V^{O\ p.\ c.}$ ὅς] *om.* M αἰσχύνθη *(*αι- P, ι- M*)* $V^W$ PM, αισχυνθῆ *(*ε- $V^E$*)* $V^EV^O$ ἐντήμου P, τίμου $V^O$ **7** δυνατοῦ M **9 – 10** Μὴ – τὴν] *om.* V PM E **13 – 690, 1** Βάρος – καὶ$^1$] *om.* E **13** σὲ] σεαυτοῦ P, σεαὺτοῦ M

καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ σου μὴ κοινώνει.
Τί κοινωνήσει χύτρα πρὸς λέβητα;
Αὐτὴ προσκρούσει καὶ αὐτὴ συντριβήσεται.

***II$^{2}$1828 / R cap. K 19, 6**

## II$^{1}$1225 / K cap. K 2, 5

Τοῦ αὐτοῦ·

Μεγιστάνι κλῖνον τὴν κεφαλήν σου.

## II$^{1}$1226 / K cap. K 2, 6

Τοῦ αὐτοῦ·

Ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου.

## II$^{1}$1227 / K cap. K 2, 7

Τοῦ αὐτοῦ·

Ὁ βάλλων λίθον εἰς ὕψος, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ βάλλει.

---

**6 II$^{1}$1225** Sir. 4, 7$^{2}$ (Wahl, *Sirach-Text*, p. 53) **9 II$^{1}$1226** Sir. 35, 9$^{1}$ (Wahl, *Sirach-Text*, p. 142) **12 II$^{1}$1227** Sir. 27, 25$^{1}$ (Wahl, *Sirach-Text*, p. 120)

---

**5 – 6 II$^{1}$1225** K cap. K 2, 5 (183r[15]16); V$^{E}$V$^{O}$ cap. K 10, 4; V$^{W}$ cap. K 10, 5; PM cap. K 6, 5; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 13 **8 – 9 II$^{1}$1226** K cap. K 2, 6 (183r[16]17); V$^{E}$V$^{O}$ cap. K 10, 5; V$^{W}$ cap. K 10, 6; PM cap. K 6, 6; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 13–14 **11 – 12 II$^{1}$1227** K cap. K 2, 7 (183r18–19); V$^{E}$V$^{O}$ cap. K 10, 6; V$^{W}$ cap. K 10, 7; PM cap. K 6, 7; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 14–15

---

**II$^{1}$1225** (a) K V$^{W}$ PM (b) *s. a.* V$^{E}$V$^{O}$ **II$^{1}$1226** (a) K M (b) Σιράχ *(-ραχ cod.)* P (c) *s. d.* V **II$^{1}$1227** (a) PM (b) *s. a.* K V$^{E}$V$^{O}$ (c) *s. d.* V$^{W}$

---

**1** ἰσχυροτέρῳ σου] ἰσχυροτέρου E, ὑψηλοτέρῳ σου K καὶ πλουσιωτέρῳ σου] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* πλουσιωτέρῳ σου] πλουσιωτέρως σου P, πλουσιοτέρω V$^{E}$V$^{O}$ κοινώνει] *hic caesura in* V$^{W}$ PM **2** Τί] *add.* γὰρ E κοινωνήσει] *add.* λέβητα M *(sed eras.)* **3** Αὐτὴ] αὐτῇ V$^{E\ a.\ c.}$ V$^{O}$ M, αὐτη P, αὕτη *LXX* προσκρούσει] πρὸς κρούσει V$^{E}$, προσκρούση V$^{W}$, πρὸς μϊκρόν σε V$^{O}$ καὶ] *om.* K M αὐτὴ] αὐτῇ V$^{E}$ M, αὐτὴ V$^{O}$, αὐτη P, αὕτη *LXX* **6** Μεγιστάνι] μεγιστάνω V$^{W}$ PM **9** ἐξισάζου] ἐξϊσάζον V$^{O}$ **12** Ὁ – βάλλει] *om.* PM βάλων V$^{O\ a.\ c.}$, βαλὼν K, βαλλὼν V$^{W}$ εἰς ὕψος] *om.* V$^{O}$ *(in mg. supplev. man. rec.)*

## II$^{1}$1228 / K cap. K 2, 8

***II$^{2}$1829 / R cap. K 19, 7**

Τῶν Πράξεων·

Σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

## II$^{1}$1229 / K cap. K 2, 9

***II$^{2}$1831 / R cap. K 19, 9**

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς Ἑξαημέρου·

Καλὸν ἀεὶ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι.

## II$^{1}$1230 / K cap. K 2, 10

Φίλωνος, ἐκ τοῦ γʹ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Ἀεὶ τὸ κρεῖττον ἄρχειν, τὸ δὲ χεῖρον ἄρχεσθαι δεῖ.

---

**6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 9.9./9. (ed. Ihm, p. 211)

---

**3 II$^{1}$1228** Act. 26, 14 **6 II$^{1}$1229** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, locus non repertus; exstat apud Eund., *Sermones de moribus a Symeone Metaphrasta collecti*, XV *(De imperio ac potestate)*, 1 (PG 32, 1305, 34–35) **9 II$^{1}$1230** Philo Iudaeus, *Legum allegoriae*, III, 222 (ed. Cohn, p. 162, 26–27)

---

**2 – 3 II$^{1}$1228** K cap. K 2, 8 (183r[19]20); V$^{E}$V$^{O}$ cap. K 10, 7; V$^{W}$ cap. K 10, 8; PM cap. K 6, 8; E cap. 159, 84; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 16 **5 – 6 II$^{1}$1229** K cap. K 2, 9 (183r[20]21); V$^{E}$V$^{O}$ cap. K 10, 8; V$^{W}$ cap. K 10, 9; PM cap. K 6, 9; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 17 **8 – 9 II$^{1}$1230** K cap. K 2, 10 (183r[22]23); *deest in* V H$^{I}$ PML$^{b}$

---

**II$^{1}$1228** (a) K V$^{E}$V$^{O}$ Τῶν] *om.* V$^{E}$V$^{O}$ (b) Παροιμιῶν V$^{W}$ (c) *s. a.* E (d) *s. d. (cf. lemma loci praecedentis)* PM **II$^{1}$1229** (a) K PM Τοῦ ἁγίου] *om.* P (b) Βασιλείου V

---

**3** σκληρόν σου P **6** τοῦ] *om.* V$^{E}$V$^{O}$

***II$^{2}$1832 / R cap. K 19, 10**

## II$^{1}$1231 / K cap. K 2, 11

Ἐκ τοῦ πρώτου τῶν ἐν Γενέσει ζητημάτων·

Τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν, ὠφελιμώτατον.

## II$^{1}$1232 / K cap. K 2, 12

Ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Οὐδεὶς οὕτω μέμηνεν, ὡς δοῦλος ὢν ἐναντιοῦσθαι δεσπότῃ.

## II$^{1}$1233 / K cap. K 2, 13

Βασιλείου, <ἐκ τῆς> πρὸς Ἰουλιανὸν ἐπιστολῆς·

Ἐπαχθὲς ἡμῖν τὸ λέγειν πρὸς βασιλέα, ἰδιώτας ὄντας· ἐπαχθέστερόν σοι φανήσεται τὸ λέγειν πρὸς θεόν· οὐδεὶς γὰρ μεσίτης θεοῦ καὶ ἀνθρώπου γενήσεται.

---

**3 II$^{1}$1231** PHILO IUDAEUS, *Quaestiones in Genesim*, III. 30a (ed. Petit, p. 140) **6 II$^{1}$1232** PHILO IUDAEUS, *Legatio ad Gaium*, 233 (ed. Reiter, p. 199, 1–2) **9 – 11 II$^{1}$1233** BASILIUS CAESARIENSIS, *Epistulae*, XLI, 2, 13–15 (ed. Courtonne, I, p. 98)

---

**2 – 3 II$^{1}$1231** K cap. K 2, 11 (183r[24]183v1–2); V$^{E}$V$^{O}$ cap. K 10, 9; V$^{W}$ cap. K 10, 10; PM cap. K 6, 11; *deest in* H$^{I}$ L$^{b}$; PG 86, 2084, 12–14; PG 96, 84, 18 **5 – 6 II$^{1}$1232** K cap. K 2, 12 (183v[2]3–4); V$^{E}$V$^{O}$ cap. K 10, 10; V$^{W}$ cap. K 10, 11; PM cap. K 6, 11; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 19–20 **8 – 11 II$^{1}$1233** K cap. K 2, 13 (183v[4]5–8); *deest in* V H$^{I}$ PML$^{b}$

---

**II$^{1}$1231** (a) K πρώτου] *correxi*, πρὸς K (b) Φίλωνος V$^{W}$V$^{O}$ PM (c) *s. a.* V$^{E}$ **II$^{1}$1232** (a) K (b) Φίλωνος V$^{E}$ (c) *s. a.* V$^{W}$V$^{O}$ PM **II$^{1}$1233** ἐκ τῆς] *supplevi*, *om.* K

---

**3** ὑποτάσσεσθαι V$^{E}$, ὑποτάσεσθαι V$^{O}$ **6** ὡς] ὅς V$^{E}$V$^{O}$ ἐναντιοῦται V$^{E}$V$^{O}$ **9** Ἐπαχθὲς] *correxi (ed.)*, ἐπαναχθὲς K

## II$^{1}$1234 / K cap. K 2, 14

Τοῦ θεολόγου ἁγίου Γρηγορίου·

Μὴ κρίνε τοὺς κριτάς, ὁ χρήζων τῆς ἰατρείας, μὴ δὲ φυλοκρίνει μοι τὰς ἀξίας τῶν σὲ καθαιρόντων· ἄλλος μὲν ἄλλου κρείττων ἢ ταπεινότερος, σοῦ δὲ πᾶς ὑψηλότερος.

---

**3 – 5 II$^{1}$1234** GREGORIUS NAZIANZENUS, *In S. baptisma (Orat. 40)*, 26, 22–26 (ed. Moreschini, p. 258)

---

**2 – 5 II$^{1}$1234** K cap. K 2, 14 (183v[8]9–12); V$^{E}$V$^{O}$ cap. K 10, 11; V$^{W}$ cap. K 10, 12; PM cap. K 6, 10; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 84, 21–23

---

**II$^{1}$1234** (a) K (b) Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ βαπτίσματος M (c) Τοῦ Θεολόγου, εἰς τὸ βάπτισμα P (d) Θεολόγου V$^{W}$ (e) *s. a.* V$^{E}$V$^{O}$

---

**3** κρίνε] κρῖναι V$^{W}$ **3 – 4** μὴ – καθαιρόντων] *om.* V PM **4** κρείττον V$^{E}$, κρεῖττον V$^{W}$ M, κρειττον P

*II²/ R cap. K 13

**Τίτλος γʹ Περὶ καταλαλιᾶς, καὶ ὅτι καταλαλιά ἐστιν ὁ λόγος ψευδὴς κατά τινος λεγόμενος.**

**βʹ Περὶ καταλαλιᾶς, καὶ ὅτι καταλαλιά ἐστι λόγος ψευδὴς κατά τινος λεγόμενος.**

**εʹ Περὶ καταλαλιᾶς καὶ διαβολῆς.**

*II²1789 / R cap. K 13, 2

## II¹1235 / K cap. K 3, 1

Ἀπὸ τῶν Ἀριθμῶν·

Ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωϋσῆ ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης, ἣν ἔλαβε Μωϋσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβεν, καὶ εἶπαν· Μὴ Μωϋσῇ μόνῳ ἐλάλησε κύριος; Οὐχὶ καὶ ἡμῖν ἐλάλησε κύριος; Καὶ ἄνθρωπος Μωϋσῆς πραῢς σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς. Καὶ εἶπεν κύριος παραχρῆμα πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ· Ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ ἐξῆλθον. Καὶ κατέβη κύριος ἐν στύλῳ νεφέλης, καὶ ἔστη ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριάμ, καὶ ἐξήλθοσαν ἀμφότεροι. Καὶ

---

**8 – 695, 8 II¹1235** Num. 12, 1–10

---

**1 – 2 Titlos (a)** K (183v12–14) **3 – 4 Titlos (b)** V $A^{I\,pin}$; *deest in* $H^{I}A^{I\,txt}$ **5 Titlos (c)** $PML^{b\,pin}$ (*cf.* *II² / R cap. K 13 titlos); *deest in* $L^{b\,txt}$ **7 – 695, 8 II¹1235** K cap. K 3, 1 (183v[14]15–184r13); V cap. K 2, 1; PM cap. K 5, 1; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 72, 15–28

---

**1 – 2 Titlos (a)** **1 – 2** καὶ – λεγόμενος] *om.* $K^{pin}$ **1** ὁ] *forsan delendum* **3 – 4 Titlos (b)** **3** βʹ] *propt. mg. resect. non liquet in* $A^{I\,pin}$ *(*βʹ *secund. ser.)*, *praem.* τίτλος $V^{W\,txt}$ καταλαλιᾶς] *add.* καὶ διαβολῆς $V^{W\,txt}$ λόγος] *add.* ψιλὸς $V^{E\,pin}V^{O\,pin}$ **5 Titlos (c)** καταλαλίας $P^{pin}$, καταλαλιας $M^{pin}$, -ᾶς $M^{pin\ man.\ rec.}$ καὶ διαβολῆς] *om.* M

---

**II¹1235** (a) K (b) Ἀριθμῶν V P (c) Βασιλειῶν αʹ M

---

**8** μαριαμ P, μαρία M αарων P Μωϋσῆ] *scripsi*, μωσῆ V, μωσῆν K, μωύσεως *(sic)* M, μωσεως P ἕνεκεν] περὶ $V^{W}$ **9** αἰθιοπίσης $V^{W}V^{O}$ M, αἰθιοπησις $P^{a.\,c.}$, αἰθιοπησσις $P^{p.\,c.}$ ἣν] ἢν P, ἧς K μωϋσης M, μωσῆς *(*-ης P*)* V P γυναικαν M αἰθιοπισσαν M, αἰθιόπισαν $V^{E}V^{W}V^{O\,p.\,c.}$, αἰθιόπησαν $V^{O\,a.\,c.}$, αἰθιοπησαν $P^{a.\,c.}$, αἰθιοπησσαν $P^{p.\,c.}$ **10** μωσῆ *(*-η P*)* V P, μωσεῖ K μωνω M, μόνον K κύριος] ὁ θεός M **11 – 16** Καὶ – ἀμφότεροι] *om.* V PM

εἶπεν πρὸς αὐτούς· Ἀκούσατε τὸν λόγον μου ἀμφότεροι· ἐὰν γένηται προφήτης ὑμῶν κυρίου, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. Οὐχ’ οὕτως ὡς ὁ θεράπων μου Μωϋσῆς· ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι· στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ δι’ αἰνιγμάτων, καὶ τὴν δόξαν κυρίου εἶδεν· καὶ διατί οὐκ ἐφοβήθητε λαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσῆ; Καὶ ὀργὴ θυμοῦ κυρίου ἐπέπεσεν ἐπ’ αὐτούς, καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα ὡσεὶ χιών.

## II$^{1}$1236 / K cap. K 3, 2

Τῶν αὐτῶν·

Ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ, καὶ κατελάλησαν πρὸς τὸν θεὸν καὶ κατὰ Μωϋσῆν, λέγοντες· Ἱνατί ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ; Ὅτι οὐκ ἔστιν ἄρτος οὔτε ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισεν <ἐν> τῷ ἄρτῳ τῷ διακενῷ τούτῳ. Καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακον τὸν λαόν, καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ.

## II$^{1}$1237 / K cap. K 3, 3

Ἀπὸ τοῦ Ἰώβ·

…καταλαλοῦντές μου οὐκ αἰσχυνόμενοι ἐπίκεισθαί μοι.

---

**11 – 16 II$^{1}$1236** Num. 21, 4–6 **19 II$^{1}$1237** Iob 19, 3$^{2}$

---

**10 – 16 II$^{1}$1236** K cap. K 3, 2 (184r[13]14–21); *deest in* V H$^{I}$ PML$^{b}$ **18 – 19 II$^{1}$1237** K cap. K 3, 3 (184r[21]22–23); *deest in* V H$^{I}$ PML$^{b}$

---

**1** εἶπεν] *add.* κύριος V PM Ἀκούσατε – μου] ἀκουσατε μου τὸν λόγον M **2** κυρίω K M αὐτῷ] *om.* V PM **3** αὐτὸν M μωϋσης M, μωσῆς K V$^{E}$V$^{O}$ **4** κατὰ] καὶ P, πρὸ *(sic)* M **4 – 5** αὐτὸν M **5** εἴδει] εἴδη V$^{E}$, ειδη PM εἶδεν] ἴδεν K, ἴδεν P **6** *scripsi*, μῶϋσῆ *(sic)* M, μωυσεῖ K, μωσῆ *(*-η P*)* V P **7 – 8** ὀργὴ – σκηνῆς] ὠργίσθη *(*ὀρ- V$^{E}$V$^{O}$ M, ορ- P; -γϊσθῆ V$^{O}$, -γισθη M*)* θυμῶ *(*-ω P*)* κύριος V PM **7** ὀργὴ] *scripsi (LXX)*, ὀργῆ K **8** ὡσεὶ] ὥς P, ως M **13** οὔτε] *e corr.* K, οὐδὲ *LXX* **14** ἐν] *supplevi (LXX)*, *om.* K **19** ἐπίκεισθέ μοι *LXX (sed cf. app. crit.)*

## II$^1$1238 / K cap. K 3, 4

Δαυῒδ ἐν ψαλμῷ λʹ·

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια,
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν
ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

## II$^1$1239 / K cap. K 3, 5

Ἐν ψαλμῷ μθʹ·

Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις,
καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

## <II$^1$suppl. 322 / V cap. K 2, 4>

## II$^1$1240 / K cap. K 3, 6

Ἐν ψαλμῷ ρʹ·

Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

---

**10 II$^1$suppl. 322** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 5 II$^1$1238** Ps. 30, 19$^{1-3}$ **8 – 9 II$^1$1239** Ps. 49, 20$^{1-2}$ **13 II$^1$1240** Ps. 100, 5$^1$

---

**2 – 5 II$^1$1238** K cap. K 3, 4 (184r[23]24–184v2); V cap. K 2, 2; PM cap. K 5, 2; *deest in* H$^I$ L$^b$; PG 96, 72, 29–30 **7 – 9 II$^1$1239** K cap. K 3, 5 (184v[2]3–4); V cap. K 2, 3; PM cap. K 5, 3; *deest in* H$^I$ L$^b$; PG 96, 72, 31–32 **12 – 13 II$^1$1240** K cap. K 3, 6 (184v[4]5–6); V cap. K 2, 5; PM cap. K 5, 5; *deest in* H$^I$ L$^b$; PG 96, 72, 35–36

---

**II$^1$1238** (a) K (b) Ψαλμοῦ λʹ PM (c) Δαυῒδ V **II$^1$1239** (a) K (b) Ψαλμοῦ μθʹ PM (c) Τοῦ αὐτοῦ V$^W$ (d) *s. a.* V$^E$V$^O$ **II$^1$1240** (a) K (b) Ψαλμοῦ ρʹ PM (c) Τοῦ αὐτοῦ V$^W$ (d) *s. a.* V$^E$V$^O$

---

**3** γενεθῆτω M, γεννηθητω P **4 – 5** τὰ – ἐξουδενώσει] καὶ τὰ λοιπά V$^O$ P, *om.* V$^E$ **5** ἐν – ἐξουδενώσει] *om.* V$^W$ **8 – 9** κατελάλεις – σκάνδαλον] καὶ τὰ λοιπά V$^O$, *om.* V$^E$ **9** καὶ – σκάνδαλον] *om.* P **13** τοῦ] τὸν V M αὐτοῦ – ἐξεδίωκον] καὶ τὰ λοιπά V$^O$, *om.* V$^E$

## II$^{1}$1241 / K cap. K 3, 7

Ἐκ τοῦ αὐτοῦ·

Λαλῶν ἄδικα, οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

## II$^{1}$1242 / K cap. K 3, 8

***II$^{2}$1791 / R cap. K 13, 4**

Τῶν Παροιμιῶν·

Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς.

## <II$^{1}$suppl. 323 / V cap. K 2, 10>

***II$^{2}$1796 / R cap. K 13, 9**

## II$^{1}$1243 / K cap. K 3, 9

***II$^{2}$1793 / R cap. K 13, 6**

Σοφία Σολομῶντος·

Φυλάξασθε γογγυσμὸν ἀνωφελῆ,
καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης,
ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύεται.

---

7 **II$^{1}$suppl. 323** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

3 **II$^{1}$1241** Ps. 100, 7$^{2}$ 6 **II$^{1}$1242** Prov. 20, 13$^{1}$ (Wahl, *Proverbien-Text*, p. 98–99) **10 – 12 II$^{1}$1243** Sap. 1, 11$^{1-3}$

---

**2 – 3 II$^{1}$1241** K cap. K 3, 7 (184v[6]7–8); V$^{E}$V$^{O}$ cap. K 2, 6; V$^{W\ addit.}$ cap. K 2, 6 *(extra ordinem in mg. sup.)*; PM cap. K 5, 6; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 37–38 **5 – 6 II$^{1}$1242** K cap. K 3, 8 (184v[8]9); V cap. K 2, 7; PM cap. K 5, 7; E cap. 159, 79; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 39–40 **9 – 12 II$^{1}$1243** K cap. K 3, 9 (184v[10]11–13); V cap. K 2, 8; PM cap. K 5, 8; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 41–43

---

**II$^{1}$1241** (a) K (b) Τοῦ αὐτοῦ V$^{W\ addit.}$ (c) *s. a.* V$^{E}$V$^{O}$ P (d) *s. d.* M **II$^{1}$1242** (a) K V$^{E}$V$^{W}$ PM Τῶν] *om.* V$^{E}$V$^{W}$ PM (b) *s. a.* V$^{O}$ (c) Σολομῶντος E **II$^{1}$1243** (a) K M (b) Σολομῶντος V$^{W}$ (c) Παροιμιῶν V$^{O}$ (d) *s. a.* V$^{E}$ P

---

**3** Λαλῶν – μου] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* τῶν ὀφθαλμῶν μου] καὶ τὰ λοιπά V$^{O}$, *om.* V$^{E}$ **6** καταλαλιὰν K ἐξαρθῇς] *add.* καὶ τὰ λοιπά V$^{O}$ **10** φυλάξατε *(*-λα- P*)* V PM ἀνοφελῆ K V$^{E}$ M, ἀνοφελὴν V$^{O}$ **11** καταλιᾶς K φείσασθαι V$^{W}$V$^{O}$ PM **12** φθέγμα] πνεῦμα M κενὸν] καινὸν V$^{O}$, *om.* M οὐ πορεύεται] εἰσπορεύεται V$^{O\ a.\ c.}$, ἐκπορεύεται M

*II$^{2}$1795 / R cap. K 13, 8

## II$^{1}$1244 / K cap. K 3, 10

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ ἢ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκέτι εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. Εἷς ἐστὶν ὁ νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι.

*II$^{2}$1797 / R cap. K 13, 10

## II$^{1}$1245 / K cap. K 3, 11

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῶν κανονικῶν διατάξεων·

Καταλαλιά ἐστι τὸ κατὰ ἀπόντος ἀδελφοῦ λέγειν τί, σκοπῷ τοῦ διαβάλλειν αὐτόν, εἰ καὶ ἀληθὲς ᾖ τὸ λεγόμενον.

---

**3 – 6 II$^{1}$1244** Iac. 4, 11–12 **9 – 10 II$^{1}$1245** BASILIUS CAESARIENSIS, re vera *Epistulae*, XXII, 1, 26–28 (ed. Courtonne, I, p. 53); cf. etiam ID., *Asceticon magnum sive Quaestiones (regulae brevius tractatae)*, XXV (PG 31, 1100, 39–41)

---

**2 – 6 II$^{1}$1244** K cap. K 3, 10 (184v[13]14–18); V cap. K 2, 9; P cap. K 5, 10; M cap. K 5, 9; E cap. 159, 80; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 44–49 **8 – 10 II$^{1}$1245** K cap. K 3, 11 (184v[19]20–22); V cap. K 2, 11; PM cap. K 5, 11; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 54–56

---

**II$^{1}$1244** (a) K PM ϊακωβου PM, *praem.* τοῦ ἀδελφοῦ M (b) Ἐκ τῆς Ἰακώβου V$^{E}$V$^{O}$ (c) Ἰακώβου V$^{W}$ (d) Ἀπὸ Ἰακώβου E **II$^{1}$1245** (a) K PM Τοῦ ἁγίου] *om.* PM βασιλειου M διατάξεων] *om.* M (b) Βασιλείου V βασιλίου V$^{W}$

---

**3** καταλαλῆτε V$^{W}$ E, καταλαλεῖται M **4** νόμου] νόμων V κρίνειν V$^{O}$ δὲ] *add.* καὶ M **5** κρίνης V$^{W}$, κρίνεῖς *(sic)* M, κρινεις P οὐκέτι] οὐκ M νόμου] νόμων V$^{O}$ ὁ] *om.* V$^{W}$ **6** κριτής] *praem.* ὁ V$^{E}$V$^{O}$ **9** τὸ] *s. l.* V$^{W}$ κατὰ ἀπόντος] κατὰ παντὸς M, καταπαντος P λέγειν] λαλεῖν V$^{O}$ **10** διαβαλεῖν K εἰ καὶ] κἂν *ed.* ᾖ] ἢ V$^{W}$, εἴη M

## II$^1$1246 / K cap. K 3, 12

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Πάντες ἐσμὲν εὐσεβεῖς ἐξ ἑνός, τοῦ καταγινώσκειν ἀλλήλων ἀσέβειαν.

## II$^1$1247 / K cap. K 3, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Ἀλλ᾽ οἶμαι, τὸ τοῦ ἤθους εὐσταθὲς καὶ βεβηκὸς καὶ ἀπεξεσμένον τύφον ὠνόμασαν. Οἱ δὲ αὐτοί μοι δοκοῦσι ῥαδίως τὸν ἀνδρεῖον καλέσαι θρασύν, καὶ δειλὸν τὸν περιεσκεμμένον, καὶ τὸν σώφρονα μισάνθρωπον, καὶ τὸν δίκαιον ἀκοινώνητον. Καὶ γὰρ οὐ φαύλως τοῦτό τινες πεφιλοσοφήκασιν, ὅτι παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ εἰσὶν ὥσπερ ἀγχίθυροι, καὶ ῥᾶστον, ἄλλό τι ὄντα, ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις.

## II$^1$1248 / K cap. K 3, 14

Ἐκ τῶν τετραστίχων Γνωμῶν·

Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 63.7./70.7. (ed. Ihm, p. 933) **16** Κακῶς – κακῶς] exstat ibid., 10.10./10. (p. 243–244)

---

**3 – 4 II$^1$1246** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 79, 4–5 (ed. Bernardi, p. 192) **7 – 13 II$^1$1247** Gregorius Nazianzenus, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 64, 16–24 (ed. Bernardi, p. 266) **16 – 700, 3 II$^1$1248** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 101–104 (PG 37, 935, 9–12)

---

**2 – 4 II$^1$1246** K cap. K 3, 12 (184v[22]23–24); *deest in* V H$^I$ PML$^b$ **6 – 13 II$^1$1247** K cap. K 3, 13 (184v[24]185r1–9); *deest in* V H$^I$ PML$^b$ **15 – 700, 3 II$^1$1248** K cap. K 3, 14 (185r[10]11–14); *deest in* V H$^I$ PML$^b$

---

**II$^1$1248** τετραστίχων] *scripsi*, Δ'στιχων K Γνωμῶν] *scripsi*, γνώμων K

---

7 βεβηκὸς] *scripsi (ed.)*, βεβαικος K *(ζ<ή>τ<ει> in mg.)* ἀπεξεσμένον] *scripsi (ed.)*, ἀπεξησμένον K **9** δειλὸν] *scripsi (ed.)*, δηλὸν K

Ὅταν προθῇ τις ἄλλον εἰς κωμῳδίαν,
Ὡς εὐφρανῶν σε, σαυτὸν ἐγκεῖσθαι δόκει.
Ὧδ’ ἂν μάλιστα δυσχεραίνοις τῷ λόγῳ.

*II$^{2}$1799 / R cap. K 13, 12

## II$^{1}$1249 / K cap. K 3, 15

Τοῦ μακαρίου Ἰωάννου, ἐκ τοῦ ἐπισφαλὲς τὸ εἰς θέατρα ἀνέρχεσθαι·

Ἐὰν τίς σε εἴπῃ κακῶς, εἰ μὲν ἀληθὲς λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον. Εἰ σύνοιδας σεαυτῷ τὰ εἰρημένα, σωφρόνησον· εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον.

## II$^{1}$1250 / K cap. K 3, 16

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς τοὺς ἔχοντας συνεισάκτους·

Τῶν κακῶς λεγόντων ἡμᾶς τότε χρὴ καταφρονεῖν, ὅταν ἡμεῖς αὐτοῖς μὴ παράσχωμεν λαβάς, μᾶλλον δὲ μὴ δὲ τότε, ἐπειδὰν δυνώ-

---

**7–9 II$^{1}$1249** IOHANNES CHRYSOSTOMUS, *De Davide et Saule*, III *(Contra theatra)*, 4, 19–22 (ed. Barone, p. 59) **12–701, 2 II$^{1}$1250** IOHANNES CHRYSOSTOMUS, re vera *Quod regulares feminae viris cohabitare non debeant*, 6, 5–10 (ed. Dumortier, p. 114–115)

---

**5–9 II$^{1}$1249** K cap. K 3, 15 (185r[14]15–18); V cap. K 2, 12; PM cap. K 5, 12; E cap. 159, 81; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 72, 57 – 73, 2 **11–701, 2 II$^{1}$1250** K cap. K 3, 16 (185r[18]19–23); V cap. K 2, 13; PM cap. K 5, 13; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 73, 3–7

---

**II$^{1}$1249** (a) K (b) Τοῦ Χρυσοστόμου, ἐκ τῶν κατὰ τῶν θεάτρων PM τῶν$^{1}$] τοῦ M τῶν$^{2}$] *om.* M (c) Τοῦ Χρυσοστόμου V E Τοῦ] *om.* V$^{W}$ E **II$^{1}$1250** (a) K (b) Εἰς τὸν ἔχοντα συνεισάκτους PM (c) Χρυσοστόμου V$^{W}$ (d) Τοῦ αὐτοῦ V$^{O}$ (e) *s. a.* V$^{E}$

---

**1** προθῇ τις] *correxi (ed.)*, προσθῆι τις K **2** εὐφρανῶν σε] *correxi (ed.)*, ἐμφανῶν σε K$^{a.\,c.}$, ἐμφανὼν σε K$^{p.\,c.}$ **3** Ὧδ’] *correxi (ed.)*, ὡς δ’ K **7** διωρθωσαι M, διόρθωσε P **7–8** ψευδὴ V$^{E}$V$^{O}$ M, ψευδη P **8** Εἰ] *add.* μὲν V$^{E}$V$^{O}$ συνοῖδας K V$^{O}$, συνοίδας M, συνοιδας P$^{p.\,c.}$, συνιδας P$^{a.\,c.}$ σε αὐτῶ V$^{E}$V$^{O}$, σὲ αὐτῶ P, ἑαυτῶ K, ἑαὐτω *(sic)* M σωφρόνισε K, σωφρόνισαι V$^{W}$ E, σωφρονησαι P, σωφρόνησαὶ *(sic)* M **9** συνοῖδας K V$^{O}$ *(cf.* *II$^{2}$ *app. crit.)*, συνοίδας M, συνοιδας P **12** ἡμᾶς] ὑμᾶς P τότε] ὅτι M καταφρουρεῖν M **12–13** ἑαυτοὺς M **13** παρέξωμεν M, παρέξομεν V P λαβάς] *scripsi (ed.)*, λάβας K V$^{W\ a.\,c.\ ut\ videtur}$, βλάβας *(*βλα- P*)* V$^{E}$V$^{W\ p.\,c.}$ V$^{O}$ PM μὴ$^{2}$ – τότε] μηδὲν τότε V$^{O}$, μηδέποτε M τότε] *add.* ἀλλ’ V$^{E}$V$^{O}$ **13–701, 1** δυνάμεθα *(*δυνα- M*)* V PM

μεθα ἐπιστομίζειν αὐτούς· ὅταν δὲ ἐξ ἡμῶν γίνηται τὸ πᾶν, ἐπὶ τὴν ἡμετέραν κεφαλὴν τρέπεται πᾶν τὸ πῦρ.

## II$^{1}$1251 / K cap. K 3, 17

Ἐκ τοῦ αὐτοῦ·

Οὐχ’ οἱ κακῶς λέγοντες μόνον, ἀλλὰ καὶ οἱ τὰς αἰτίας εἰκῇ παρέχοντες, τῆς ἐπὶ τῇ κατηγορίᾳ κειμένης εἰσὶν ὑπεύθυνοι τιμωρίας.

## <II$^{1}$suppl. 324–325 / V cap. K 2, 15–16>

***II$^{2}$1800 / R cap. K 13, 13**

**7 II$^{1}$suppl. 324–325** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**5 – 6 II$^{1}$1251** Iohannes Chrysostomus, re vera *Quod regulares feminae viris cohabitare non debeant*, 4, 77–79 (ed. Dumortier, p. 109)

**4 – 6 II$^{1}$1251** K cap. K 3, 17 (185r[mg]24–185v2); V cap. K 2, 14; PM cap. K 5, 14; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 73, 7–10

**II$^{1}$1251** (a) K (b) Τοῦ αὐτοῦ (c) *s. a.* V M

**1** δὲ] δ’ K γίνηται] *scripsi (ed.)*, γίνεται K V$^{E}$V$^{O}$, γένηται V$^{W}$, γενητε P, γεννῆται M **2** κεφαλὴν] *post* τρέπεται *transpos.* V$^{W}$ πᾶν] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* M **6** εἰσὶν] *om.* M

**Τίτλος δʹ Περὶ κινδύνου ἀπὸ πλήθους ἀνδρῶν γινομένου, καὶ ὅτι χρὴ ἐν κινδύνῳ κολακευτικόν τινα εἶναι, φεύγειν δὲ τὰς περιστάσεις τὰς ἀπὸ πλήθους ἐπαγομένας.**

## II¹1252 / K cap. K 4, 1

Βασιλειῶν αʹ·

Ἐκάλεσεν Ἀγχοῦς τὸν Δαυῒδ καὶ εἶπεν αὐτῷ· Ζῇ κύριος, ὅτι εὐθὴς σὺ καὶ ἀγαθὸς ἐν ὀφθαλμοῖς μου, καὶ ἡ ἔξοδός σου καὶ ἡ εἴσοδός σου μετ' ἐμοῦ ἐν τῇ παρεμβολῇ, καὶ οὐχ' εὕρηκα κατὰ σοῦ κακίαν, ἀφ' ἡμέρας ἧς ἥκεις μετ' ἐμοῦ ἕως τῆς σήμερον ἡμέρας. Καὶ ἐν ὀφθαλμοῖς τῶν σατραπῶν οὐκ ἀγαθὸς σύ. Καὶ νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην, καὶ οὐ μὴ ποιήσῃς κακίαν ἐν ὀφθαλμοῖς τῶν σατραπῶν τῶν ἀλλοφύλων. Καὶ εἶπεν Δαυῒδ πρὸς Ἀγχοῦς· Τί πεποίηκά σοι, καὶ τί εὗρες ἐν τῷ δούλῳ σου, ἀφ' ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης, ὅτι οὐ μὴ ἔλθω πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ βασιλέως; Καὶ ἀπεκρίθη Ἀγχοῦς πρὸς Δαυῒδ· Οἶδα ὅτι ἀγαθὸς σὺ ἐν ὀφθαλμοῖς μου, ἀλλ' οἱ σατράπαι τῶν ἀλλοφύλων λέγουσιν· Οὐχ' ἥξει μεθ' ἡμῶν εἰς πόλεμον.

## II¹1253 / K cap. K 4, 2

Σχόλιον·

Σημείωσαι ὅτι καὶ βασιλεῖς πολλὰ παρὰ γνώμην ποιεῖν ἀναγκάζονται διὰ τὸν κίνδυνον.

---

**1 – 3** Περὶ – ἐπαγομένας] cf. II¹ / K^pin Παραπομπὴ Σ 4

---

**6 – 18 II¹1252** I Reg. 29, 6–9 (Wahl, *1 Samuel-Text*, p. 79–80) **21 – 22 II¹1253** *Scholion in I Reg. 26, 6–9*

---

**1 – 3 Titlos** K (185v2–6) **5 – 18 II¹1252** K cap. K 4, 1 (185v[6]7–23) **20 – 22 II¹1253** K cap. K 4, 2 (185v[23]23–186r1); PG 86, 2084, 16–17

---

**1 – 3 Titlos 1 – 3** καὶ – ἐπαγομένας] *om.* K^pin

---

**9** ἡμέρας] *post* ἧς *hab. LXX* **14** πολεμῆσαι] *correxi (LXX)*, πολεμήσω K

## II[1]1254 / K cap. K 4, 3

Δαυῒδ ἐν ψαλμῷ ιζʹ·

Ῥῦσαί με ἐξ ἀντιλογίας λαοῦ.

## II[1]1255 / K cap. K 4, 4

*II[2]1851 / R cap. K 22, 3

Τῶν Παροιμιῶν·

Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακῶν.

## II[1]1256 / K cap. K 4, 5

*II[2]1853 / R cap. K 22, 5

Τῶν αὐτῶν·

Πανοῦργος κακῶν ἐπερχομένων ἐκρύβη, ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν.

## II[1]1257 / K cap. K 4, 6

Ἱερεμίου προφήτου·

Ἔκραξεν ὁ λαὸς πρὸς τὸν βασιλέα, λέγων· Ἀναιρεθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι οὕτως ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμιστῶν τῶν καταλελειμμένων ἐν τῇ πόλει, καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ, λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους, ὅτι ἄνθρωπος οὗτος οὐ χρηστοδοτεῖ εἰρήνην τῷ λαῷ τούτῳ ἀλλ’ ἢ πονηρά. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς αὐτούς, καὶ ἔρριψαν

---

**3 II[1]1254** Ps. 17, 44[1] **6 II[1]1255** Prov. 14, 16[1] (Wahl, *Proverbien-Text*, p. 71) **9 – 10 II[1]1256** Prov. 27, 12[1–2] (Wahl, *Proverbien-Text*, p. 132) **13 – 704, 4 II[1]1257** Ier. 45, 4–6 (Wahl, *Prophetenzitate*, p. 580–581)

---

**2 – 3 II[1]1254** K cap. K 4, 3 (186r[1]2) **5 – 6 II[1]1255** K cap. K 4, 4 (186r[2]3) **8 – 10 II[1]1256** K cap. K 4, 5 (186r[3]4–5) **12 – 704, 4 II[1]1257** K cap. K 4, 6 (186r[5]6–17)

---

**15** καταλελειμμένων] *scripsi (LXX in app. crit.)*, καταλελημμένων K **17** χρηστοδοτεῖ] χρησμολογεῖ *LXX* **18** *post* βασιλεὺς *hab.* Ἰδοὺ αὐτὸς ἐν χερσὶν ὑμῶν· ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς *LXX*

τὸν Ἱερεμίαν εἰς τὸν λάκκον Χελκίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν ἐν σχ<ο>ινίοις εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ οὐκ ἦν ὕδωρ ἀλλ᾽ ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ.

## II$^{1}$1258 / K cap. K 4, 7

<***>

Ὡς ἤκουσεν ὁ βασιλεὺς τὸ ῥῆμα τοῦ λαοῦ, ἐλυπήθη ἐπ᾽ αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν. Τότε οἱ ἄνδρες ἐκεῖνοι λέγουσι τῷ βασιλεῖ· Γνῶθι, βασιλεῦ, ὅτι τὸ δόγμα Μήδοις καὶ Πέρσαις, τοῦ πάντα ὁρισμὸν καὶ στάσιν, ἣν ὁ βασιλεὺς στήσει, οὐ δεῖ παραλλάξαι. Τότε ὁ βασιλεὺς εἶπεν, καὶ ἤγαγον τὸν Δανιὴλ καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Ὁ θεός, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξέλοιτό σε. Καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ.

## II$^{1}$1259 / K cap. K 4, 8

Τοῦ αὐτοῦ·

Συνεστράφησαν οἱ ἄνδρες ἐπὶ τὸν βασιλέα, καὶ εἶπον· Ἰουδαῖος γέγονεν ὁ βασιλεύς, τὸν Βὴλ κατέστρεψεν, καὶ τὸν δράκοντα ἀπέκτεινεν, καὶ τοὺς ἱερεῖς κατέσφαξεν. Καὶ εἶπον ἀπελθόντες πρὸς τὸν βασιλέα· Παράδος ἡμῖν τὸν Δανιήλ· εἰ δὲ μή, ἀποκτε-

---

**7 – 14 II$^{1}$1258** Ὡς – σε] Dan. 6, 14–16 (Wahl, *Prophetenzitate*, p. 688–689) **14 – 16** Καὶ – αὐτοῦ] Ibid. 6, 18 (deest apud Wahl, *Prophetenzitate*) **19 – 705, 3 II$^{1}$1259** Bel-et-Dr. 28–31 (Wahl, *Prophetenzitate*, p. 698–699)

---

**6 – 16 II$^{1}$1258** K cap. K 4, 7 (186r18–186v5) **18 – 705, 3 II$^{1}$1259** K cap. K 4, 8 (186v[5]6–14)

---

**II$^{1}$1258** *s. a.* K

---

**1** ἦν] *om.* K *(s. l. supplev. man. rec.)* **2** σχοινίοις] *scripsi*, σχινίοις K **9** ἐκεῖνοι] *om.* K *(s. l. supplev. man. rec.)* **12** καὶ – αὐτὸν] *om.* K *(in mg. supplev. man. rec.)* τῶν λεόντων] *om.* K *(in mg. supplev. man. rec.)*

νοῦμέν σε καὶ τὸν οἶκόν σου. Καὶ <ε>ἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα, καὶ ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ. Οἱ δὲ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων.

## II$^{1}$1260 / K cap. K 4, 9

Ματθαίου, ἐν κεφαλαίῳ ριζʹ ριηʹ·

Οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατʼ αὐτοῦ ἐξελθόντες, ὅπως αὐτὸν ἀπολέσωσιν. Γνοὺς δὲ ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν.

## II$^{1}$1261 / K cap. K 4, 10

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ εἰς τὸν ἀδελφὸν ἐπιταφίου·

**8** αμαρεία K$^{a.\ c.\ ut\ videtur}$, σαμαρία V$^{E}$V$^{O}$ M **9** πεντήκοντα] νʹ K V$^{W}$ σίκλων V, σικλων P **9 – 10** καὶ – σικλῶν] *iterav.* V$^{O}$ **9** καὶ] *om.* M τέταρτον] τεταρτον τον P, τετάρτου M τοῦ] *om.* M κάβου] καβ K$^{p.\ ras.}$, *non liquet in* K$^{a.\ ras.}$ κόπρου] *supplevi (LXX), om.* K V PM **10** σίκλων V **11** πορευόμενος M ἐπὶ] διὰ V$^{E}$V$^{O}$ **12** Σῶσον] σωσον P, σῶσόν με K V$^{W\ p.\ c.}$ *(= LXX)* βασιλεῦ V$^{W\ a.\ c.}$ P, βασιλεύ V$^{W\ p.\ c.}$, βασιλεῦς *(sic)* V$^{E}$V$^{O}$ αὐτῇ] αὐτῇ ὁ βασιλεὺς *(*-εῦς V$^{O}$*)* V$^{E}$V$^{O}$, ὁ βασιλεὺς αὐτῇ M, *post* αὐτῇ *iterav.* καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς V$^{E}$ *(sed eras.)* σώσαι σε] σῶσαί σε K V$^{W\ p.\ c.}$, σώσει σε P, σώσῃ σε M, σώσαι V$^{E}$V$^{O}$ **13** κύριος] *praem.* ὁ V$^{W}$ πόθεν σε] πόθεν M τοῦ$^{1}$] τῆς M, *om.* K ἅλωνος K ὑπολινίου V$^{E}$V$^{O}$ **14** εἶπεν$^{2}$] *add.* αὐτῷ V$^{W}$ αὕτη] αὔτη V$^{E}$, αὐτὴ V$^{O}$

εἶπεν· Δός μοι τὸν υἱόν σου, καὶ φάγωμεν αὐτὸν σήμερον· καὶ τὸν υἱόν μου φαγόμεθα αὔριον. Καὶ ἕψησα τὸν υἱόν μου, καὶ ἐφάγομεν αὐτόν. Καὶ εἶπον αὐτῇ· Δὸς τὸν υἱόν σου ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ φαγόμεθα αὐτόν. Καὶ ἔκρυψεν αὐτόν. Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τὸν λόγον τῆς γυναικός, διέρρηξε τὰ ἱμάτια αὐτοῦ.

## II[1]1401 / K cap. Λ 3, 6

Τῶν Παροιμιῶν·

Ὁ τιμιουλκῶν σῖτον δημοκατάρατος.

## II[1]1402 / K cap. Λ 3, 7 *II[2]1891 / R cap. Λ 3, 3

Τοῦ αὐτοῦ·

Ὁ συνέχων σῖτον, ἀπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν.

---

**9** similiter ap. Bas. Caes., *Homilia in illud:* Destruam horrea mea *(Luc. 12, 18) et de avaritia*, III (ed. Courtonne, p. 23, 12–13 [cf. II[1]1410 / K cap. Λ 3, 15]) atque Ioh. Chrys., *In epistulam I ad Corinthios*, XXXIX, 7 (PG 61, 343, 50; Field, II, p. 501)

---

**9 II[1]1401** Prov. 11, 26[1] (Wahl, *Proverbien-Text*, p. 59–60) et 11, 26[2] La **12 II[1]1402** Prov. 11, 26[1] (Wahl, *Proverbien-Text*, p. 59–60)

---

**8 – 9 II[1]1401** K cap. Λ 3, 6 (196r[21]22); V cap. Λ 3, 2; PM cap. Λ 2, 2; *deest in* H[I] L[b]; PG 96, 96, 40 **11 – 12 II[1]1402** K cap. Λ 3, 7 (196r[22]23); V cap. Λ 3, 3; PM cap. Λ 2, 3; *deest in* H[I] L[b]; PG 96, 96, 40–41

---

**II[1]1401** Τῶν] *om.* V PM **II[1]1402** (a) K M (b) *s. a.* V P

---

**1** Δός μοι] δὸς V[W] *(= LXX)* φάγωμεν] *sic* M *(et* *II[2]*)*, φάγομεν K V P, φαγόμεθα *LXX* **2** υἱόν μου] υἱόν σου V[O] φαγόμεθα] φαγώμεθα M Καὶ] καγὼ V[W] ἥψησα M **2 – 3** ἐφάγωμεν K **3** ἐν] *om.* V[E]V[O] **3 – 4** δευτέρᾳ] β′ V[W] **4** ἔκρυψαν V[O a. c.] ἐγένετο ὡς] *om.* V[E]V[O] **5** γυναικός] *add.* καὶ V[E]V[O] **9** τιμιουλκὼν V[W], -ουλκων P, -ολκῶν K σῖτον] σίντου V[O] **12** ὑπολείποιτο M αὐτὸ V[O]

*II$^2$1890 / R cap. Λ 3, 2

## II$^1$1403 / K cap. Λ 3, 8

Τῶν αὐτῶν·

Προηγεῖται τῆς ἐνδείας στάσις καὶ μάχη.

*II$^2$1892 / R cap. Λ 3, 4

## II$^1$1404 / K cap. Λ 3, 9

Ἰωὴλ προφήτου·

Πενθεῖτε, ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ, ὅτι τεταλαιπώρηκε πεδία. Πενθείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκεν ὁ σῖτος, ἐξηράνθη ὁ οἶνος, ὠλιγώθη ἔλαιον, κατησχύνθησαν γεωργοί. Θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς· ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ· ἡ ἄμπελος ἐξηράνθη, καὶ αἱ συκαῖ ὠλιγώθησαν· ῥόα καὶ φοῖνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν, ὅτι κατήσχυναν χήραν υἱοὶ τῶν ἀνθρώπων.

*II$^2$1896 / R cap. Λ 3, 8

## II$^1$1405 / K cap. Λ 3, 10

Ἱερεμίου προφήτου·

Ὅτι οὐκ ἦν ὑετὸς ἐπὶ τῆς γῆς, ᾐσχύνθησαν γεωργοί, καὶ ἐπεκάλυ-

---

**3 II$^1$1403** Prov. 17, 14$^2$ (Wahl, *Proverbien-Text*, p. 87) **6 – 12 II$^1$1404** Ioel 1, 9–12 (Wahl, *Prophetenzitate*, p. 213–215) **15 – 775, 4 II$^1$1405** Ier. 14, 4–6 (Wahl, *Prophetenzitate*, p. 526–527)

---

**2 – 3 II$^1$1403** K cap. Λ 3, 8 (196r[23]24); *deest in* V H$^I$ PML$^b$ **5 – 12 II$^1$1404** K cap. Λ 3, 9 (196r[24]196v1–9); V cap. Λ 3, 4; PM cap. Λ 2, 4; *deest in* H$^I$ L$^b$; PG 96, 96, 42–50 **14 – 775, 4 II$^1$1405** K cap. Λ 3, 10 (196v[9]10–15); V cap. Λ 3, 8; PM cap. Λ 2, 8; *deest in* H$^I$ L$^b$; PG 96, 97, 10–15

---

**II$^1$1404** (a) K (b) Ἰωήλ V PM ϊωηλ P **II$^1$1405** (a) K (b) *s. a.* V$^E$V$^O$ (c) *s. d.* V$^W$ PM

---

**6** πενθήσατε V$^W$ ἱερεῖς] *praem.* οἱ V$^W$ θυσιαστήρια V$^W$ PM, *praem.* τὸ V$^E$, *praem.* τῷ V$^O$ **6 – 7** τεταλαιπόρηκεν (-κε V$^{O\ p.\ c.}$) V$^E$V$^{O\ p.\ c.}$ P, τεταλεπόρηκε V$^{O\ a.\ c.}$ **7** πεδία] παιδία V$^E$V$^O$ P πενθήτω K V P τεταλαιπόρηκεν V$^E$V$^O$ P, ἐταλαιπώρησεν V$^W$ **8** ὀλιγώθη (ο- M) V$^W$ PM, ὀλιγόθη V$^E$V$^O$ **9** πύρου P, πυρροῦ V$^W$ ἀπώλωλε (-εν PM) K V$^W$ PM **10** αἱ] *om.* V PM *sic* V$^{W\ p.\ c.}$, συκαὶ K V$^E$V$^O$ P, σύκαι M, συκὰ V$^{W\ a.\ c.}$ ὀλιγώθησαν (ὀ- V$^E$V$^O$) V P ροὰ P, ῥωὰ V$^E$V$^O$, ῥῶα V$^W$ M **11** τὰ] *om.* V$^{E\ a.\ c.}$ M **12** χήραν] χαρὰν V PM υἱοὶ] *praem.* οἱ M τῶν] *om.* M

ψαν τὴν κεφαλὴν αὐτῶν. Καί γε ἔλαφοι ἐν ἀγρῷ ἔτεκον καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. Ὄναγροι ἔστησαν ἐπὶ νάπαις· εἵλκυσαν ἄνεμον ὡς δράκων, ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος.

## II[1]1406 / K cap. Λ 3, 11

***II[2]1893 / R cap. Λ 3, 5**

Τοῦ αὐτοῦ·

Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου, ἐταράχθη ἡ κοιλία μου,
ἐξεχύθη εἰς γῆν ἡ δόξα μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ [λαοῦ μου,
ἐν τῷ ἐκλύεσθαι νήπια καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.
Ταῖς μητράσιν αὐτῶν εἶπον· Ποῦ σῖτος καὶ οἶνος;
ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡσεὶ τραυματίας ἐν πλατείαις πόλεως,
ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.

---

**7 – 13 II[1]1406** Thren. 2, 11[1]–12[3] (Wahl, *Prophetenzitate*, p. 600–601)

---

**6 – 13 II[1]1406** K cap. Λ 3, 11 (196v[15]16–23); V cap. Λ 3, 5; PM cap. Λ 2, 5; *deest in* H[I] L[b]; PG 96, 96, 51 – 97, 4

---

**II[1]1406** (a) K (b) Ἱερεμίου *(*ϊηρε- *cod.)* προφήτου P (c) Ἱερεμίου V[W] M ϊερεμίου M (d) *s. a.* V[E] (e) *s. d.* V[O]

---

**1** αυτῶν V[W a. c.], ἑαυτῶν V[W p. c.] Καί γε] καὶ αἱ V[W] **1 – 2** ἐγκατέλειπον P **2** ὄνοι *(*ο- P*)* ἄγριοι *(*ἄ- P*)* V PM ἐπὶ νάπαις] ἐπηναπαις V[E p. c.] V[O], ἐπηνάπες V[E a. c.] **2 – 3** εἵλκυσαν V[E], ἤλκυσαν PM, εἴλασαν V[O] **3** ἀνέμων V[O] ἐξέλειπον *(*ἐξε- M*)* PM αὐτῶν] αὐτῶς V[O] **7** ἐξέλειπον M, ἐξέλειπων P **8** σύντριμα *(*συν- M*)* V[O] M **10** τῷ] *correxi (LXX in app. crit.)*, ἐκδύεσθαι K, ἐκδύσασθαι *(*εκ- M*)* V PM καὶ] *om.* V[W p. ras.] θηλάζοντας V[E]V[O] πλατίαις PM **11** μητράσιν] μητρᾶσιν V, μιτράσιν K Ποῦ] τοῦ K **12** ἐν[1] – πόλεως] *om.* V PM ἐκλύεσθαι] *correxi (LXX)*, ελκύεσθαι *(sic)* K τραυματίας] *correxi (LXX)*, τραυματίαις K **13** κόλπον] κόλπων P, κόλπους M, σκόπον V[W a. c.], σκόλπον V[W p. c.]

*II$^2$1894 / R cap. Λ 3, 6

## II$^1$1407 / K cap. Λ 3, 12

Τοῦ αὐτοῦ·

Ἴδε, κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως·
εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν;
Ἐπιφυλλίδα ἐποίησε μάγειρος· φονευθήσονται νήπια θηλάζοντα
[μασθούς;

## II$^1$1408 / K cap. Λ 3, 13

Τοῦ αὐτοῦ·

<***> ὡς στρουθίον ἐν ἐρήμῳ.
Ἐκολλήθη γλῶσσα θηλάζοντος πρὸς τὸν λάρυγγα αὐτοῦ ἐν δίψῃ·
νήπια ᾔτησαν ἄρτον, καὶ ὁ διακλῶν αὐτοῖς οὐκ ἦν.
Καλοὶ ἦσαν οἱ τραυματίαι μαχαίρας ἢ οἱ τραυματίαι λιμοῦ·
λυποῦμαι ἐπὶ τοῖς κεκεντημένοις ἀπὸ γενημάτων ξύλου τοῦ
[δρυμοῦ.

---

**3 – 6 II$^1$1407** Thren. 2, 20$^{1-3}$ (Wahl, *Prophetenzitate*, p. 601) **9 – 11 II$^1$1408** ὡς – ἦν] Thren. 4, 3$^2$–4$^2$ (Wahl, *Prophetenzitate*, p. 605–606) **12 – 777, 1** Καλοὶ – δρυμοῦ] Ibid. 4, 9$^{1-2}$ (Wahl, p. 607)

---

**2 – 6 II$^1$1407** K cap. Λ 3, 12 (196v[24]197r1–4); V cap. Λ 3, 6; PM cap. Λ 2, 6; *deest in* H$^I$ L$^b$; PG 96, 97, 4–7 **8 – 14 II$^1$1408** K cap. Λ 3, 13 (197r[4]5–10); *deest in* V PM

---

**II$^1$1407** (a) K P (b) *s. a.* V (c) *s. d.* M

---

**3** Ἴδε] εἶδε V$^E$V$^O$ ἐπεφύτησας *(*επ- M*)* V$^E$V$^W$ M, ἐπεφοίτησας V$^O$ P **4** εἰ] ἡ P, *om.* M$^{a. c.}$ **5** ἐπιφυλίδα *(*-φύλιδα P*)* V$^E$V$^{W\ a. c.}$ V$^O$ P φονευθήσονται] *praem.* οὐ K **6** μαστούς V P **9** *ante* ὡς *quaedam excidisse videntur*, θυγατέρες λαοῦ μου εἰς ἀνίατον *LXX* **11** ᾔτησαν] *correxi (LXX)*, ἤτισαν K **12** τραυματίαι$^1$] *scripsi*, τραυματεῖαι K τραυματίαι$^2$] *scripsi*, τραυματεῖαι K **13** κεκεντημένοις] *correxi (LXX in app. crit.)*, ἐκκεντημένοις K

## II$^1$1409 / K cap. Λ 3, 14

*II$^2$1895 / R cap. Λ 3, 7

<***>

Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία ἑαυτῶν,
καὶ ἐγένοντο εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι θυγατρὸς [λαοῦ μου.

## II$^1$1410 / K cap. Λ 3, 15

*II$^2$1897 / R cap. Λ 3, 9

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ κατὰ πλεονεξίας λόγου·

Μὴ ἀναμείνῃς, ἄνθρωπε, σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα· *ὁ γὰρ τιμιουλκῶν σῖτον δημοκατάρατος*. Μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν, μὴ κοινὴν ἔνδειαν διὰ ἰδίαν εὐπορίαν. Μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων· μὴ ἐπιξάνῃς τραύματα κεκακωμένων ταῖς μάστιξιν. Σὺ δὲ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφὸν οὐ προσβλέπεις, καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ φίλον παρὰ τὴν

---

**8 – 9** Prov. 11, 26$^1$ (cf. II$^1$1401 / K cap. Λ 3, 6)

---

**3 – 5 II$^1$1409** Thren. 4, 10$^{1-2}$ (Wahl, *Prophetenzitate*, p. 607–608) **8 – 778, 1 II$^1$1410** Μὴ – ἀγνοεῖς] Basilius Caesariensis, *Homilia in illud:* Destruam horrea mea *(Luc. 12, 18) et de avaritia*, III (ed. Courtonne, p. 23, 12–19)

---

**2 – 5 II$^1$1409** K cap. Λ 3, 14 (197r10–13); V cap. Λ 3, 7; PM cap. Λ 2, 7; *deest in* H$^I$ L$^b$; PG 96, 97, 8–9 **7 – 778, 24 II$^1$1410** K cap. Λ 3, 15 (197r[13]14–24); V cap. Λ 3, 9; PM cap. Λ 2, 9–10; *deest in* H$^I$ L$^b$; PG 96, 97, 16–56

---

**II$^1$1409** *s. d.* K V PM **II$^1$1410** (a) K (b) Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ κατὰ πλεονεξίας λόγου / Τοῦ αὐτοῦ PM *(cf. infra, app. crit. text.)* βασιλειου P ἐκ τοῦ] *om.* P λόγου] *om.* P (c) Βασιλείου V βασιλειου V$^W$

---

**3** οἰκτειρμόνων V$^{W\ a.c.}$ PM, οἰκτιρμόνον V$^E$ αὐτῶν M **4** καὶ] *om.* K ἑαυταῖς K P, αὐτῶν M **4 – 5** ἐν – μου] *om.* V PM **8** σιτοδείαν] *scripsi (ed.)*, σιτοδίαν PM, σιτωδίαν K V$^W$, σιτοδοσίαν V$^E$, σῒτοδεσίαν V$^O$ σιτοδοχία V$^{W\ a.c.}$ P, σιτοδοχίαν K, σιτοχία M **9** τιμιουλκὼν V$^O$ P, τιμιουλκὸν M, τιμιολκῶν K δημοκατάρατος] *hic caesura in* PM **11** ἀνθρωπίνων] ἀλλοτρίων M ποιήσῃ V$^E$V$^W$ P, ποιήσεις M, ποιήσει V$^O$ **12** ξάνῃς K κεκακωμενα M **13** μὲν] μὲ P τὸν$^2$] το P **14** προσβλέπεις] πρὸς βλέπεις V$^{E\ p.c.}$ PM, πρὸς βλέπῃς V$^{E\ a.c.}$, προβλέπεις V$^O$ **15** δοκήμου M, δοκιμίου V$^W$ τὴν] τὴ V$^O$

χρείαν ὄντα, παντελῶς ἀγνοεῖς. Τί οὖν ποιεῖ ὁ ἐνδεής; Ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμόν, ὥστε αὐτοὺς ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑρᾶσθαι τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ καὶ διαθέσεως πατρικῆς. Ἡ μὲν τὸν οἴκτιστον θάνατον ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα· καὶ πολλάκις ὁρμήσας καὶ πολλάκις ἀνακοπείς, τελευταῖον ἐκρατήθη, ὑπὸ τῆς ἀπαραιτήτου χρείας ἐκβιασθείς. Καὶ οἷα βουλεύεται ὁ πατήρ· Τίνα πρῶτον ἀπεμπολήσω; Τίνα ἡδέως ὁ σιτοπώλης ὄψεται; Ἐπὶ τὸν πρεσβύτατον ἔλθω; Ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. Ἀλλ᾽ ἐπὶ τὸν νεώτατον; Ἀλλ᾽ ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν, ἀναισθητοῦσαν τῶν συμφορῶν. Οὗτος ἐναργεῖς σώζει τῶν γονέων τοὺς χαρακτῆρας, ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. Φεῦ τῆς ἀμηχανίας. Τίς γένωμαι; Τίνι τούτων προσκρούσω; Ποίαν θηρίου ψυχὴν ἀναλάβω; Πῶς τῆς φύσεως ἐπιλάθωμαι; Ἐὰν πάντων ἀντίσχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει. Ἐὰν ἕνα προῶμαι, ποίοις ὀφθαλμοῖς τοὺς λοιποὺς προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος πρὸς ἀπιστίαν; Πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; Πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπολήσων ἔρχεται, σὲ δὲ οὐ κάμπτει τὸ πάθος· οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ᾽ ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ καὶ εἰρωνεύῃ, μακροτέραν αὐτοῦ κατασκευάζων τὴν συμφοράν.

---

**1 – 24** Τί – συμφοράν] BASILIUS CAESARIENSIS, *Homilia in illud:* Destruam horrea mea *(Luc. 12, 18) et de avaritia*, IV (ed. Courtonne, p. 25, 5–26)

---

**1** ὄντα] *om.* K παντελῶς] παντὸς K **1 – 24** Τί – συμφοράν] *om.* K $V^{W}$ **1** ὁ ἐνδεής] *om.* PM ἐνδεεῖς $V^{E}V^{O}$ **2** εἰς] ἐπι *(sic)* M **3** εὑρᾶσθαι] *sic acc.* $V^{E}V^{O}$, εὕρασθαι PM **4** πατρικῆς] πρακτικῆς P **4 – 8** Ἡ – πατήρ] *om.* PM **5** ἀπειλεῖ] ἀπηλεῖ $V^{O}$, ἀπειλὴ $V^{E}$ **8** οἷα βουλεύεται] οἷαβουλεται $V^{E\ a.\ c.}$, οἷα βούλεται $V^{O}$ **9** ὁ] ἡ $V^{E}V^{O}$ σιτοπόλης M, σῖτοπώλις $V^{O}$, σιτοπόλις $V^{E}$ **10** πρέσβεια $V^{O}$ M, πρεσβεία P νεότατον P, νεώτερον $V^{E\ p.\ c.}$ $V^{O}$, νεοντερος $V^{E\ a.\ c.\ ut\ videtur}$ **11 – 13** ἀναισθητοῦσαν – μαθήματα] *om.* PM **12** σώζη $V^{E\ p.\ c.}$ $V^{O\ p.\ c.}$ **13** τὰ μαθήματα] σταθμήματα $V^{O}$ Τίς γένωμαι] *om.* PM γένωμαι] *scripsi (ed.)*, γένομαι $V^{E}V^{O}$ **15** ἐπιλάθομαι $V^{E}V^{O}$ M ἀντισχῶμαι P, ἀντίσχω $V^{E}V^{O}$ **16** πρόωμαι $V^{E}V^{O}$, πρόεμαι M **17 – 18** ὕποπτος – ἀπιστίαν] *om.* PM **17** ἤδη] *scripsi (ed.)*, ἴδη $V^{E}V^{O}$ **18** οἰκίσω $V^{E}V^{O}$ οἰκείαν PM **20** ἐμπορίαν M **21** ἀπεμπωλήσων P, ἀπεμπολήσω $V^{E}V^{O}$ **21 – 22** σὲ – πάθος] σὺ δὲ οὐ κάμπτη τῷ πάθει M **23** ἀναβάλλει $V^{E}V^{O}$ ἠρωνεύη M, εἰρονεύη P, εἰρονεύει $V^{E}V^{O}$

## II[1]1411 / K cap. Λ 3, 16

***II[2]1898 / R cap. Λ 3, 10**

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ λιμοῦ καὶ αὐχμοῦ·

Λιμὸς ἀνθρωπίνων συμφορῶν ὑπάρχει τὸ κεφάλαιον· πάντων θανάτων μοχθηρότερον τέλος οὗτος. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων κινδύνων, ἢ ξίφους ἀκμὴ τὴν τελευτὴν ὀξέως ἐφίστησιν, ἢ πυρὸς ὀργὴ συντόμως τὸ ζῆν ἀποσβέννυσιν. Λιμὸς δὲ ἀργὸν ἔχει τὸ κακόν, παρέλκουσαν τὴν ἀλγηδόνα, ἐγκαθημένην τὴν νόσον καὶ ἐμφωλεύουσαν, θάνατον ἀεὶ παρόντα καὶ ἀεὶ βραδύνοντα. Τὸ γὰρ τοῦ λιμοῦ πάθος κατηνάγκασεν πολλοὺς πολλάκις καὶ τοὺς ὅρους κινῆσαι τῆς φύσεως, καὶ ἅψασθαι μὲν ἀνθρωπίνων, τῶν ὁμοφύλων, σωμάτων, μητέρα δὲ παῖδα ὃν ἐκ τῆς γαστρὸς προήγαγε, πάλιν τῇ γαστρὶ κακῶς ὑποδέξασθαι. Καὶ τοῦτο τὸ δρᾶμα Ἰουδαϊκὴ ἐτραγώδησεν ἱστορία.

---

**12 – 13** Καὶ – ἱστορία] cf. II[1]1415 / K cap. Λ 3, 20

---

**3 – 6 II[1]1411** Λιμὸς – ἀποσβέννυσιν] Basilius Caesariensis, *Homilia dicta tempore famis et siccitatis*, 7 (PG 31, 321, 18–22) **6 – 8** Λιμὸς – βραδύνοντα] Ibid. (PG 31, 321, 24–27) **8 – 13** Τὸ – ἱστορία] Ibid. (PG 31, 321, 48 – 324, 5)

---

**2 – 13 II[1]1411** K cap. Λ 3, 16 (197v[1]2–15); V cap. Λ 3, 10; PM cap. Λ 2, 11; *deest in* H[I] L[b]; PG 96, 100, 1–13

---

**II[1]1411** (a) K (b) Περὶ λιμοῦ καὶ λοιμοῦ PM λοιμοῦ] *add.* βασιλειῶν γ′ M (c) Τοῦ αὐτοῦ V[E]V[W] (d) *s. a.* V[O]

---

**4** τέλος] τέλους K οὗτος] τοῦτο K, *om.* V[E]V[W] *(in mg. supplev. man. rec.)* V[O] **5** ακμη P[p. c.], αμη P[a. c.], ἀκμὴν M ὀξέως] *om.* K **5 – 6** ὀργὴ] ὁρμὴ V[E]V[O] M **6** τὸ[1]] *s. l.* V[W] ἀποσβαίννυσι V[W], ἀποσβένουσϊν V[O], σβέννοισιν M **7 – 8** ἐμφολεύουσαν K V[E]V[O] PM **9** τοὺς] τοῦ K ὅρους V PM **10** ἀνθρωπίνων] ἀνθρώπων V[E]V[O], *praem.* τῶν M **11** σωμάτων] *om.* V[E]V[O] παῖδα ὃν] παίδων ὧν M **12** τὸ] *om.* K δράμα K V[W]V[O a. c.] PM

*II$^{2}$1900 / R cap. Λ 3, 12

## II$^{1}$1412 / K cap. Λ 3, 17

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Τί ἐροῦμεν, οἱ σιτῶναι καὶ σιτοκάπηλοι, οἱ τηροῦντες τὰς τῶν καιρῶν δυσκολίας, ἵν᾽ εὐπορήσωμεν καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφήσωμεν καὶ κτησώμεθα, μὴ ὡς Ἰωσὴφ τὰ τῶν Αἰγυπτίων, ἐν οἰκονομίᾳ μείζονι – ἐκεῖνος γὰρ ᾔδει καὶ συναγαγεῖν καὶ σιτοδοτῆσαι καλῶς, ὥσπερ καὶ προγνῶναι τὸν λιμὸν καὶ στῆναι πρὸς αὐτόν –, ἀλλ᾽ ὡς παράνομοι τὰ τῶν ὁμοφύλων, οἱ λέγοντες· *Πότε διελεύσεται ὁ μήν, καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρούς;*, οἱ τοῖς δισσοῖς μέτροις καὶ σταθμοῖς τὸ δίκαιον διαφθείροντες, καὶ τὸ μολιβοῦν μέτρον τῆς ἀνομίας ἐφ᾽ ἑαυτοὺς κλίνοντες;

---

**5 – 8** cf. Gen. 41, 25–36; 48–57 **9 – 10** Am. 8, 5

---

**3 – 12 II$^{1}$1412** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 19 (PG 35, 960, 24–36)

---

**2 – 12 II$^{1}$1412** K cap. Λ 3, 17 (197v[15]16–198r1); V cap. Λ 3, 11; PM cap. Λ 2, 12; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 100, 14–24

---

**II$^{1}$1412** (a) K (b) Τοῦ Θεολόγου, περὶ τῆς χαλάζης PM τῆς] *om.* M (c) Θεολόγου V$^{W}$ (d) Τοῦ αὐτοῦ V$^{E}$ (e) *s. a.* V$^{O}$

---

**3** ἐροῦσιν *(*-ου- M*)* V PM σιττῶναι V$^{W}$, σιτοναι P, σατῶναι V$^{O}$, σίτωνες M σιτοκάπηλοι] *add.* καὶ M **4** ἵν᾽] ἵνα V PM εὐπορήσωμεν] *correxi (ed.)*, ἐμπορήσωμεν *(*-πορη- M*)* V$^{E}$V$^{O}$ PM, ἐμπορίσωμεν K, ἐμπορεύσωμεν V$^{W}$ ταῖς] *om.* K **5** Ἰωσὴφ] ἰωσὴφ V$^{E}$, ϊωσὴφ P, ϊωσηφ M, σοφοὶ K$^{a.\ c.\ ut\ videtur}$ **5 – 6** αἰγυπτίων V$^{E}$ **6** ἐν] ἐπ *e corr.* V$^{W}$ *(cf. ed.)*, *om.* M ᾔδει] *correxi (**II$^{2}$*)*, ἤδη V$^{W}$, ηδῆ P, εἴδη V$^{E}$V$^{O}$ M, ἔδει K **7** σιτοδῆσαι M **7 – 8** ὥσπερ – αὐτόν] *om.* K V$^{E}$V$^{W}$ *(in mg. supplev.)* V$^{O}$ **7** στῆσαι V$^{W}$ **9** διελεύσονται V$^{O\ a.\ c.}$ ἐμπολήσομεν] *scripsi*, ἐμπωλήσομεν K, ἐμπωλήσωμεν *(*εμ- P*)* V$^{W\ p.\ c.}$ P, εμπολήσωμεν *(sic)* M, ἐμπολίσωμεν V$^{E}$V$^{O}$, ἐμπλήσομεν V$^{W\ a.\ c.}$ καὶ$^{2}$] *om.* K V$^{W}$ τὰ σάββατα] *om.* K V$^{W}$ *(in mg. supplev.)* **10** ἀνοίξωμεν V$^{W}$ M οἱ] ἢ M μέτροις] σταθμοῖς K σταθμοῖς] μέτροις K **11** μόλῖβδον *(sic)* M **11 – 12** ἑαυτοῖς K

## II$^{1}$1413 / K cap. Λ 3, 18

***II$^{2}$1901 / R cap. Λ 3, 13**

Ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Λιμὸς ἦν, καὶ τῶν ποτὲ μνημονευομένων χαλεπώτατος. Ἔκαμεν δὲ ἡ πόλις, ἐπικουρία δὲ ἦν οὐδαμόθεν, οὐδέ τι φάρμακον τῆς κακώσεως. Αἱ μὲν γὰρ παραλίαι τὰς τοιαύτας ἐνδείας οὐ χαλεπῶς φέρουσιν, διαδιδοῦσαι τὰ παρ᾽ ἑαυτῶν καὶ τὰ παρὰ τῆς θαλάσσης δεχόμεναι· τοῖς δὲ ἠπειρώτα<ι>ς ἡμῖν καὶ τὸ περιττὸν ἀνόνητον καὶ τὸ ἐνδέον ἀνεπινόητον, οὐκ ἔχουσιν ὅπως ἢ διαθώμεθά τι τῶν ὄντων ἢ τί τῶν οὐκ ὄντων εἰσκομισώμεθα. Καὶ χαλεπώτατόν ἐστιν ἐν τοῖς τοιούτοις ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία. Τηροῦσι γὰρ τοὺς καιρούς, καὶ καταπραγματεύονται τὴν ἔνδειαν, καὶ γεωργοῦσι τὰς συμφοράς, οὔτε τῷ κυρίῳ *δανείζειν τὸν ἐλεοῦντα πτωχοὺς* ἀκούοντες, οὐδ᾽ ὅτι *ὁ συνέχων σῖτον δημοκατάρατος*, οὐδὲ ἄλλο οὐδὲν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένον ἢ τοῖς ἀπανθρώποις ἠπειλημένον, ἀλλ᾽ εἰσὶ τοῦ δέοντος ἀπληστότεροι, καὶ φρονοῦσι κακῶς, ἐκείνοις μὲν τὰ ἑαυτῶν, ἑαυτοῖς δὲ τὰ τοῦ θεοῦ σπλάγχνα κλείοντες, οὗ καὶ μᾶλλον χρήζοντες ἀγνοοῦσιν ἢ αὐτῶν ἕτεροι. Ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκάπηλοι, καὶ μήτε τὸ

---

**12 – 13** τῷ – πτωχοὺς] Prov. 19, 17$^{1}$ **13** ὁ – δημοκατάρατος] Ibid. 11, 26$^{1}$ (cf. II$^{1}$1401 / K cap. Λ 3, 6)

---

**3 – 782, 2 II$^{1}$1413** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 34, 14–33 (ed. Bernardi, p. 200–202)

---

**2 – 782, 2 II$^{1}$1413** K cap. Λ 3, 18 (198r[2]3–198v1); V cap. Λ 3, 12; PM cap. Λ 2, 14; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 100, 25–38

---

**II$^{1}$1413** (a) K (b) Τοῦ αὐτοῦ, εἰς Βασίλειον PM Τοῦ αὐτοῦ] *om.* P βασιλειον P (c) Τοῦ αὐτοῦ V$^{E}$V$^{W}$ (d) *s. a.* V$^{O}$

---

**3 – 9** Λιμὸς – Καὶ] *om.* V PM **6** διαδιδοῦσαι] *scripsi*, διαδίδουσαι K, διδοῦσαι *ed.* τὰ$^{1}$] *om.* K *(s. l. supplev. man. rec.)* παρ᾽ ἑαυτῶν] περὶ αὐτῶν K$^{a.c.}$ **7** ἠπειρώταις] *scripsi*, ἠπειρώτας K **9** ἢ τί] *scripsi*, ἠτί K, ἢ *ed.* **9 – 10** χαλεπώτατόν ἐστιν] χαλεπώτατον K$^{a.c.}$ **10** τοιούτοις] λιμοῖς V PM ἡ] *om.* K **12** οὔτε] οὐδὲ K **13** ὅτι] *om.* K δημοκατάρακτος P **14** οὐδὲ] οὐδ᾽ V$^{O}$ ἄλλω P οὐδὲν ἢ] οὐδενὶ M ἐπηγγελμένων V$^{E}$, ἐπιγγελμένων V$^{O}$ **15** ἠπηλημένον V$^{W}$, ἠπιλημένων P, ἠπιλημμένων V$^{E}$V$^{O}$, ἠπειλλήμενον M **16** ἐκεῖνοις V$^{O}$ P, ἐκεῖνος V$^{E}$ ἑαυτοῖς] ἑαυτοὺς M **17** σπλάχνα P οὗ] ὧν *(sic)* M **18** σιτόναι P, σίτωνες M σιτοκάπηλοι] *praem.* οἱ K καὶ$^{2}$] *om.* M

συγγενὲς αἰδούμενοι, μήτε περὶ τὸ θεῖον εὐχάριστοι, παρ᾽ οὗ τὸ ἔχειν αὐτοῖς, ἄλλων πιεζομένων.

*II$^{2}$1902 / R cap. Λ 3, 14

## II$^{1}$1414 / K cap. Λ 3, 19

Ἰωσήπου, ἐκ τοῦ περὶ ἁλώσεως ζʹ λογου·

Πάντα ὑπ᾽ ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μὴ δὲ τοῖς ῥυπαρωτάτοις τῶν ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέφερον· ζωστηρίων γοῦν καὶ ὑποδημάτων τοτελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασσῶντο.

## II$^{1}$1415 / K cap. Λ 3, 20

Καὶ μετ᾽ ὀλίγα·

Γυνή τις, τοῦ λιμοῦ διὰ τῶν σπλάγχνων καὶ μυελῶν παρεισδύνοντος, ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον – ἦν δὲ αὐτῇ παῖς ὑπομάστιος – ἁρπασαμένη, Βρέφος, εἶπεν, ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει τίνι σε τηρῶ;Ἴθι, γενοῦ μοι τροφὴ καὶ τοῖς στασι-

---

**5 – 8 II$^{1}$1414** FLAVIUS IOSEPHUS, *De bello Iudaico*, VI, 197 (ed. Destinon/Niese, VI, p. 538, 16–19) **11 II$^{1}$1415** Γυνή τις] FLAVIUS IOSEPHUS, *De bello Iudaico*, VI, 201 (ed. Destinon/Niese, VI, p. 539, 8) **11 – 14** τοῦ – τηρῶ] IBID., VI, 204–205 (VI, p. 539, 19 – 540, 2) **14 – 783, 13** Ἴθι – μεινάτω] IBID., VI, 207–211 (VI, p. 540, 4–17)

---

**4 – 8 II$^{1}$1414** K cap. Λ 3, 19 (198v[2]3–8); V cap. Λ 3, 13; PM cap. Λ 2, 15; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 100, 39–43 **10 – 783, 13 II$^{1}$1415** K cap. Λ 3, 20 (198v[8]8–199r5); V cap. Λ 3, 14; PM cap. Λ 2, 16; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 100, 44 – 101, 11

---

**II$^{1}$1414** (a) K Ἰωσήππου] *scripsi*, ἰωσίππου *cod.* ἁλώσεως] *scripsi*, ἀλώσεως K (b) Ἰωσίππου, περὶ ἁλώσεως PM ϊωσίππου M, ιωσηππου P (c) Ἰωσήπου V$^{O}$,Ἰωσίππου V$^{W}$ (d) ὡσιέ *(sic)* V$^{E}$ **II$^{1}$1415** (a) K (b) Τοῦ αὐτοῦ V$^{W}$ PM (c) Ἰωσήπου V$^{O}$ (d) Τοῦ Χρυσοστόμου V$^{E}$

---

**1** μήτε περὶ] μὴ περὶ τε *(sic)* P εὐχάρϊστον V$^{O}$ **2** αὐτοὺς K ἄλλον V$^{E}$ **5** Πάντα] πάντας V$^{W}$ PM ὑπ᾽ ὀδόντας] ὑποδόντας V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$ P **6** προσφορὰ P, συμφορᾶ M **6 – 7** ζωστήριον K **7** ἀπόσχοντο K, ἀπεχόντο V$^{O}$ **8** δέρματα] *add.* τὰ K θυραιῶν V$^{E}$V$^{O}$ M ἀπεκδέροντες *e corr.* V$^{W}$ ἐμάσωντο K P **12** αὐτὴ V$^{W}$ παῖς] *post* ὑπομάστιος *transpos.* K **12 – 13** ὑπομάσθιος M, ὑπομάζιος V$^{E}$V$^{O}$ **14** τίνι σε] τινησε P, τὴν εἴσσε M Ἴθι, γενοῦ μοι] εἶθ᾽ ἐγένου μοι *e corr.* V$^{W}$ Ἴθι] ηθι P

ασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς. Καὶ ταῦθ’ ἅμα λέγουσα, κτείνει τὸν υἱόν, ἔπειτα ὀπτήσασα τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. Εὐθέως δὲ οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες, ἠπείλουν, εἰ μὴ δείξειεν τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν ταχέως. Ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε· τοὺς δὲ εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ᾕρει, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεισαν. Ἡ δὲ Ἐμόν, ἔφη, τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. Φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα. Μὴ γίνεσθε μήτε μαλακώτεροι γυναικός, μήτε συμπαθέστεροι μητρός. Εἰ δὲ ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ὑμῖν βέβρωκα, καὶ τὸ λοιπὸν ἐμοὶ μεινάτω.

## II$^1$1416 / K cap. Λ 3, 21

Ἐκ τοῦ αὐτοῦ·

Τῶν δὲ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. Καθ’ ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ

---

**16 – 784, 7 II$^1$1416** Flavius Iosephus, *De bello Iudaico*, VI, 193–196 (ed. Destinon/Niese, VI, p. 538, 6–16)

---

**15 – 784, 7 II$^1$1416** K cap. Λ 3, 21 (199r[5]6–19); $V^{E}V^{O}$ cap. Λ 3, 15; PM cap. Λ 2, 17; *deest in* $V^{W}$ $H^{I}$ $L^{b}$; PG 96, 101, 12–24

---

**II$^1$1416** (a) K (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ P (c) *s. d.* M

---

**1** ἐρινὺς] ἐρηνοῖς P μύθος $V^{E}$ P ἐλλείπον M, ἐνλείπων $V^{W\,a.\,c.}$, ἐνλλείπων $V^{W\,p.\,c.}$ **2** ταῦτα V PM **2 – 3** ὀπτίσασα $V^{E}$, ὀπτείσασα $V^{O}$ **3** ἥμισοι $V^{E}$ κατακαλύψασα] κατὰ λείψασα M **4** παρήσαν P, πάρεισαν K **5** σπασάμενοι K ἠπείλουν $V^{O}$, εἰπήλουν $V^{E}$ P **5 – 6** ἀποσφάξιν P, -σφάξαι M, -σφάζειν $V^{O}$, -σφάττειν K **6** αὐτοῖς] αὐτῆς $V^{O}$, αὐτὴν $V^{W}$ PM εἰπουσαν *(sic)* M **6 – 7** τετήρικεν P **7** τέκνου] υἱοῦ K **8** ᾕρει] *scripsi (ed.)*, ἤρει V M, ηρει P, αἵρει K ἐπεπήγησαν *(*επεπη- M*)* $V^{E}V^{O}$ PM, ἐπεπήγεσαν *ed.* **9** ἔφη ἐμὸν P, ἔφη ἐμοῦ M τὸ[1]] *om.* K $V^{W}$ τέκνον] *om.* K **11** εὐσεβῆς P **12** ἀποστρέφεται $V^{E}V^{O}$ P ὑμῖν] *om.* M **16** κατὰ] ἀνὰ K **17** τὰ] *om.* $V^{O}$ **18** εἴ που] εἰ που P, ἠ ποῦ M, εἴπον $V^{O}$ τροφεῖς $V^{E}$ παραφανεῖ ἡ M, παρεφάνη K **19** χειρὼν P, χειρὸς $V^{E}V^{O}$

ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. Πίστις δὲ ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐμπνέοντας οἱ λησταὶ διηρεύνων, μή τις ὑποκόλπιον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. Οἱ δὲ ὑπ’ ἐνδείας κεχηνότες, ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο καὶ παρεφέροντο, ταῖς θύραις ἐνσειόμενοι, μεθυόντων τρόπον, καὶ ὑπ’ ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ μιᾷ.

---

**1** ταλαίπορα *(*-αι- P*)* $V^{O}$ P, παλαι παρὰ *(sic)* M **2** καὶ] *om.* K ἐμπνέοντας] ἐμπνεόντας P, πνέοντας M, ἐκπνέοντας *ed. (sed vide app. crit.)*, *add.* ἤδη K οἱ λησταὶ] οἱ λισταὶ $V^{E}V^{O}$, ἀλησταὶ M διερευνων M, διηρεύνουν K **3** ὑποκόλπϊος $V^{O}$, ὑποκολπιος M, ὑπὸ κόλπιος $V^{E}$ P, ὑπὸ κόλπον *ed.* ἔχων] σχῶν PM σκήπτοιτο] *scripsi (ed.)*, σκέπτοιτο K, σκέποιτο $V^{E}V^{O}$ P, σκέπτηι M αὐτῷ] *scripsi (ed.)*, αὐτῶι K, αὐτῶ $V^{E}V^{O}$ PM **4** ὑπ’] ὑπὸ P λυσσόντες $V^{E}V^{O}$ ἐφάλλοντο $P^{p.\,c.}$ M, ἐφάλοντο $P^{a.\,c.}$, ἠσφάλοντο K **5** παρεφέροντω $V^{E}V^{O}$, παραφέρονται M ταῖς] ταῖς τε $V^{E\ a.\ ras.\ ut\ videtur}$ $V^{O}$ P *(= ed.)* ἐνσιόμενοι P, ἐνσιώμενοι M τρόπων P, τρόπω M **6** ὑπ’] ὑπὸ $V^{E}V^{O}$ P, ὑπο M εἰς] *om.* $V^{E}V^{O}$ PM εἰσεπήδουν *(*-πη- M*)* K M, *om.* $V^{O}$, εἰσπηδῶντες *ed.* δὶς – τρὶς] δεὶς *(*δεῖς $V^{O}$*)* ἢ τρεῖς $V^{E}V^{O}$, δης ἠ τρίς P, δὶς ἢ τρεῖς M

## Τίτλος δʹ  Περὶ λύπης.

***II$^2$ / R cap. Λ 4**

### II$^1$1417 / K cap. Λ 4, 1

***II$^2$1905 / R cap. Λ 4, 3**

Ἀπὸ τοῦ Σιράχ·

Μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου,
καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ·
πολλοὺς γὰρ ἀπώλεσεν ἡ λύπη,
καὶ οὐκ ἔστιν ὄφελος ἐν αὐτῇ.

### II$^1$1418 / K cap. Λ 4, 2

***II$^2$1906 / R cap. Λ 4, 4**

Τοῦ αὐτοῦ·

Ἀπὸ λύπης ἐκβαίνει θάνατος,
καὶ λύπη καρδίας κάμψει ἰσχύν.
Μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου,
ἀπόστησον αὐτήν, μνησθεὶς τὰ ἔσχατα.

---

**10 – 11** Ἀπὸ – ἰσχύν] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 28.4./4. (ed. Ihm, p. 608 – 609)

---

**4 II$^1$1417** Μὴ – σου] Sir. 30, $21^1$ (Wahl, *Sirach-Text*, p. 129) **5 – 7** καὶ – αὐτῇ] Ibid. 30, $23^{2-4}$ (Wahl, p. 129) **10 – 11 II$^1$1418** Ἀπὸ – ἰσχύν] Sir. 38, $18^{1-2}$ (Wahl, *Sirach-Text*, p. 151) **12 – 13** Μὴ – ἔσχατα] Ibid. 38, $20^{1-2}$ (Wahl, p. 151)

---

**1 Titlos** K (199r19) **3 – 7 II$^1$1417** K cap. Λ 4, 1 (199r[19]20 – 22); $V^EV^O$ cap. Θ 5, 55; $V^W$ cap. Θ 5, 41; P cap. Θ 6, 55; M cap. Θ 6, 54; T cap. Θ 9, 45; R cap. Θ 9, 38; PG 96, 24, 28 – 30 **9 – 13 II$^1$1418** K cap. Λ 4, 2 (199r[22]23 – 199v1); $V^EV^O$ cap. Θ 5, 56 – 57; $V^W$ cap. Θ 5, 42; P cap. Θ 6, 56 – 57; M cap. Θ 6, 55 – 56; T cap. Θ 9, 46 – 47; R cap. Θ 9, 39 – 40; PG 96, 24, 31 – 33

---

**II$^1$1417** (a) K (b) Τοῦ αὐτοῦ M T R (c) *s. a.* V P **II$^1$1418** (a) K (b) Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ P *(cf. infra, app. crit. text.)* (c) Τοῦ αὐτοῦ / *s. d.* M T *(cf. infra, app. crit. text.)* (d) *s. d.* / Τοῦ αὐτοῦ R *(cf. infra, app. crit. text.)* (e) *s. a.* / *s. d.* $V^EV^O$ *(cf. infra, app. crit. text.)* (f) *s. a.* $V^W$

---

**4** δῷς εἰς] δὸς εἰς $V^O$, δώσεις P $R^{p. c.}$, δώσηις *(*-ης M $R^{a. c.}$*)* K M $R^{a. c.}$ τῇ ψυχῆι *(*-ῇ R*)* σου K R **6** ἡ λύπη] *om.* M **11** ἰσχύν] *hic caesura in* $V^EV^O$ PM T R **12 – 13** Μὴ – ἔσχατα] *om.* $V^W$ **12** δῷς εἰς] δώσεις R, δώσης M δῷς] δὼς T, δὸς $V^O$ τῇ καρδία σου R

## II$^{1}$1419 / K cap. Λ 4, 3

Ἐκ τῆς πρὸς Κορινθίους β′·

Ἔκρινα ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν· εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; Καὶ ἔγραψα τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην σχῶ ἀφ’ ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστίν. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ’ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ, πάντας ὑμᾶς. Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων, ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην.

***II$^{2}$1907 / R cap. Λ 4, 5**

## II$^{1}$1420 / K cap. Λ 4, 4

Καὶ μετ’ ὀλίγα·

Ἡ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.

---

**3 – 14 II$^{1}$1419** II Cor. 2, 1–8 **17 II$^{1}$1420** II Cor. 7, 10

---

**2 – 14 II$^{1}$1419** K cap. Λ 4, 3 (199v[1]2–17); $V^{E}V^{O}$ cap. Θ 5, 60; $V^{W}$ cap. Θ 5, 45; P cap. Θ 6, 60; M cap. Θ 6, 59; T cap. Θ 9, 50; R cap. Θ 9, 43; PG 96, 24, 41–45 **16 – 17 II$^{1}$1420** K cap. Λ 4, 4 (199v[17]17–18)

---

**II$^{1}$1419** (a) K P R Ἐκ τῆς] *om.* P R (b) Ἐκ τῆς β′ $V^{E}V^{O}$ (c) β′ ἐπιστολῆς $V^{W}$ (d) Τοῦ αὐτοῦ M (e) Τῆς αὐτῆς T

---

**3** Ἔκρινα] ἔκριναν $V^{O}$, *add.* δὲ M ἐμαυτὸν K M τοῦτο] τούτω M, τουτω T πάλιν] *om.* K *(s. l. supplev. man. rec.)* πρὸς ὑμᾶς] *post* ἐλθεῖν *transpos.* $V^{E}V^{O}$ M **4** ἡμᾶς $V^{O}$ τίς ἐστιν] τίς V **4 – 5** λυπούμενος] *post* ἐμοῦ *transpos.* R **5** αὐτό] *om.* V PM T R ἔχω V P T R **6 – 14** πεποιθὼς – ἀγάπην] *om.* V PM T R **7** ὑμῶν ἐστίν] *sic acc.* K

## II[1]1421 / K cap. Λ 4, 5

Τοῦ ἀββᾶ Κασσιανοῦ, ἐκ τοῦ περὶ τῶν ὀκτὼ λογισμῶν·

Πέμπτος ἡμῖν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐπισκοτοῦντος τὴν ψυχὴν ἀπὸ πάσης πνευματικῆς θεωρίας, καὶ κωλύοντος αὐτὴν ἀπὸ πάσης ἀγαθῆς ἐργασίας. Ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα περιδράξηται τῆς ψυχῆς καὶ ὅλην αὐτὴν σκοτίσῃ, οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ, οὐ τῶν ἱερῶν ἀναγνωσμάτων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν· πρᾶον καὶ εὐκατάμικτον πρὸς τοὺς ἀδελφοὺς τὸν ἄνθρωπον εἶναι οὐκ ἀνέχεται, καὶ πρὸς πάντα τῶν ἔργων τὰ ἐπιτηδεύματα, καὶ πρὸς αὐτὴν τοῦ βίου τὴν ἐπαγγελίαν μίσος ἐμποιεῖ. Καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέασα, καὶ τὴν εὐτονίαν αὐτῆς καὶ καρτερίαν παραλύσασα, ὡς ἄφρονα ταύτην καὶ παραπλῆγα ἀπεργάζεται, τῷ τῆς ἀπογνώσεως ἐνδήσασα λογισμῷ.

Διατοῦτο εἰ σκοπὸς ἡμῖν ἐστιν ἀγωνίσασθαι τὸν πνευματικὸν ἀγῶνα καὶ νικῆσαι σὺν θεῷ τὰ πνεύματα τῆς πονηρίας, *πάσῃ φυλακῇ τηρήσωμεν* τὴν ἑαυτῶν *καρδίαν* ἀπὸ τοῦ πνεύματος τῆς λύπης. Ὥσπερ σὴς ἱμάτιον καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει, ἐκκλίνειν πείθουσα πᾶσαν ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν ἢ εἰρηνικὴν ἐπιτρέπουσα μεταδοῦναι· ἀλλὰ πᾶσαν τὴν ψυχὴν περιλαβοῦσα, πικρίας αὐτὴν καὶ ἀηδίας πληροῖ· καὶ λοιπὸν ὑποβάλλει αὐτῇ φεύ-

**16 – 17** Prov. 4, 23[1] **18** Ὥσπερ – λύπη] cf. ibid. 25, 20a[1–2]

**3 – 789, 11 II[1]1421** ***Versio* K** Iohannes Cassianus, *Ad Castorem de octo spiritibus nequitiae* (Philokalia, I, p. 74, 22 – 76, 5)

**2 – 790, 4 II[1]1421** K cap. Λ 4, 5 (199v[18–19]20–201v6); V[E]V[O] cap. Θ 5, 71; V[W] cap. Θ 5, 54; P cap. Θ 6, 71; M cap. Θ 6, 70; T cap. Θ 9, 61; R cap. Θ 9, 54; PG 86, 2084, 39 – 2085, 5 *(Versio* K*)*; PG 96, 25, 34 – 28, 6 *(Versio* V PM T R*)*

**II[1]1421** (a) K PM T R κασιανοῦ K M R ἐκ τοῦ] *om.* PM R τῶν] *om.* T ὀκτὼ] η′ P T (b) Κασιανοῦ V[W] (c) κασσα μοναχοῦ *(sic)* V[E] (d) κασισα μτ *(sic)* V[O]

**3 – 789, 11** *Versio* K **4** τῇ ψυχῇ *ed.* **7** συγχωρῇ K[a. c.] **11** μίσος] *sic acc.* K **13** παραπλῆγα] *correxi (ed.)*, παράπληγα K **14** τῷ] *correxi (ed.)*, τὸ K ἀπογνώσεως] *correxi (ed.)*, ἀπογυμνώσεως K ἐνδήσασα] *correxi (ed.)*, ἐνδύσασα K **15** εἰ σκοπὸς] *correxi (ed.)*, εἷς, κόπος K **16** νικῆσαι] *correxi (ed.)*, νικήσεις K **18** σὴς] *scripsi (ed.)*, σῆς K **23** ἀηδίας] *scripsi*, ἀηδείας K, ἀκηδίας *ed.*

γειν τοὺς ἀνθρώπους, ὡς αἰτίους αὐτῇ τῆς ταραχῆς γινομένους. Καὶ οὐ συγχωρεῖ αὐτῇ ἐπιγνῶναι ὅτι οὐκ ἔξωθεν, ἀλλ’ ἔνδον ἔχει ἐναποκειμένην τὴν νόσον, ἥτις τότε φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπιστάντες διὰ τῆς γυμνασίας, εἰς τὸ ἐμφανὲς ταύτην προενέγκωσιν.

Οὐδέποτε γὰρ ὑπὸ ἄλλου βλαβήσεται ἄνθρωπος, εἰ μὴ ἔνδον ἐναποκειμένας ἔχει τὰς τῶν παθῶν αἰτίας. Καὶ τούτου χάριν ὁ πάντων δημιουργὸς καὶ ἰατρὸς τῶν ψυχῶν θεὸς καὶ μόνος ἐπιστάμενος ἀκριβῶς τὰ τραύματα τῆς ψυχῆς, οὐ τὰς τῶν ἀνθρώπων συνδιατριβὰς παραγγέλλει καταλιμπάνειν, ἀλλὰ τὰς ἐν ἡμῖν ἐκκόπτειν τῆς κακίας αἰτίας, γινώσκων τὴν ὑγείαν τῆς ψυχῆς σου οὐκ ἐν χωρισμῷ τῶν ἀνθρωπίνων κατορθοῦσθαι, ἀλλ’ ἐν τῇ μετὰ τῶν ἐναρέτων διαγωγῇ καὶ γυμνασίᾳ. Ὅταν τοίνυν διά τινας εὐλόγους δῆθεν προφάσεις τοὺς ἀδελφοὺς καταλιμπάνωμεν, οὐ τὰς τῆς λύπης ἀφορμὰς ἐξεκόψαμεν, ἀλλὰ μόνον ἐνηλλάξαμεν αὐτάς, τῆς ἐναποκειμένης ἔνδον νόσου καὶ δι’ ἑτέρων πραγμάτων ταύτας ἀνακινούσης. Διά τοι τοῦτο κατὰ τῶν ἔνδον παθῶν ἅπας ἡμῖν ἔστω ὁ πόλεμος. Τούτων γὰρ διὰ τῆς τοῦ θεοῦ συνεργείας ἐκ τῆς καρδίας ἐκβληθέντων, οὐ λέγω μετὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ μετὰ θηρίων ἀγρίων εὐκόλως συνδιατρίψομεν, κατὰ τὸ ὑπὸ τοῦ μακαρίου Ἰὼβ εἰρημένον· *Θῆρες ἄγριοι εἰρηνεύσουσίν σοι.*

Προηγουμένως τοίνυν ἀγωνιστέον κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐμβάλλοντος τὴν ψυχὴν εἰς ἀπόγνωσιν, ὅπως ἀπελάσωμεν αὐτὸ τῆς ἡμετέρας καρδίας. Τοῦτο γὰρ τὸν Κάϊν οὐ συνεχώρησεν μετὰ τὴν ἀδελφοκτονίαν μετανοῆσαι, οὔτε τὸν Ἰούδαν μετὰ τὴν τοῦ δεσπότου προδοσίαν. Ἐκείνην μόνην τὴν λύπην ἀσκήσωμεν, τὴν ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων μετ’ ἐλπίδος ἀγαθῆς γινομένην, καὶ τὴν ἐπὶ τῇ κτήσει τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτηδευομένην, περὶ ἧς καὶ ὁ Ἀπόστολος εἶπεν ὅτι *Ἡ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.* Ἡ γὰρ κατὰ θεὸν λύπη, τῇ ἐλπίδι τῆς μετανοίας τρέφουσα τὴν ψυχήν, χαρᾷ σύμμικτος ὑπάρχει. Ὅθεν καὶ πρόθυμον καὶ ὑπήκοον πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν παρασκευάζει τὸν ἄνθρωπον, εὐπρόσι-

---

**21** Iob 5, 23 **29 – 30** II Cor. 7, 10

---

**6** Οὐδέποτε] *correxi (ed.)*, οὐδ’ ὁπότε K **9** ψυχῆς, οὐ] *correxi (ed.)*, ψυχῆς σου K **10** καταλιμπάνειν] *correxi (ed.)*, παραλιμπάνειν K **20** συνδιατρίψομεν] *correxi (ed.)*, συνδιατρίψωμεν K **22** τοίνυν] *correxi (ed.)*, τοῦ νῦν K **24** Κάϊν] *scripsi*, καϊν K

τον, ταπεινόν, πρᾶον, ἀνεξίκακον, πρὸς πάντα πόνον ἀγαθὸν καὶ συντριβὴν ὑπομονητικόν, οἷα δὴ κατὰ θεὸν τυγχάνουσα, ὡς ἐκ τούτου λοιπὸν *τοὺς καρποὺς τοῦ* ἁγίου *πνεύματος* γνωρίζεσθαι ἐν τῷ ἀνθρώπῳ, τουτέστι *χαράν, εἰρήνην, μακροθυμίαν*, ἀγαθότητα, *πίστιν, ἐγκράτειαν*. Ἐκ γὰρ τῆς ἐναντίας λύπης τοὺς καρποὺς ἐπιγινώσκομεν τοῦ πονηροῦ πνεύματος, οἵτινές εἰσιν ἀκηδία, ἀνυπομ<ο>νησία, θυμός, μίσος, ἀντιλογία, ἀπελπισμός, εὐχῆς ὀκνηρία· ἥντινα λύπην οὕτως ὀφείλομεν ἐκκλίνειν, ὡς τὴν πορνείαν καὶ φιλαργυρίαν καὶ τὸν θυμὸν καὶ τὰ λοιπὰ τῶν παθῶν. Αὕτη δὲ θεραπεύεται διὰ προσευχῆς καὶ τῆς εἰς θεὸν ἐλπίδος καὶ μελέτης τῶν θείων λογίων καὶ τῆς μετὰ ἀνθρώπων εὐλαβῶν διαγωγῆς.

Πέμπτος ἡμῖν ἀγὼν κατὰ τοῦ πνεῦματος τῆς λύπης, τοῦ ἐπισκοτοῦντος τὴν ψυχὴν ἀπὸ πάσης πνευματικῆς θεωρίας, καὶ κωλύοντος αὐτὴν ἀπὸ πάσης ἀγαθῆς ἐργασίας. Ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα δράξηται τῆς ψυχῆς καὶ ὅλην αὐτὴν σκοτώσῃ, οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ, οὐ τῶν ἱερατικῶν ἀναγνωσμάτων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν· πρᾶον καὶ εὐκατάμικτον πρὸς τοὺς ἀδελφοὺς τὸν ἄνθρωπον εἶναι οὐκ ἀνέχεται, καὶ πρὸς αὐτὴν τοῦ βίου τὴν ἐπαγγελίαν μῖσος ἐμποιεῖ.

Διατοῦτο εἷς σκοπὸς ἡμῖν ἐστιν, ἀγωνίσασθαι τὸν πνευματικὸν ἀγῶνα, καὶ *πάσῃ φυλακῇ τηρήσωμεν* τὴν ἑαυτῶν *καρδίαν* ἀπὸ τοῦ πνεύματος τῆς λύπης. Ὥσπερ γὰρ σὴς ἱμάτιον καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει, ἐκκλίνειν πείθουσα πᾶσαν ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν καὶ εἰρηνικὴν ἐπιτρέπουσα μεταδοῦναι· ἀλλὰ πᾶσαν τὴν ψυχὴν παραλαβοῦσα, πικρίας αὐτὴν καὶ ἀηδίας πληροῖ· καὶ λοι-

---

**3 – 5** Gal. 5, 22–23 **20** Prov. 4, 23$^{1}$ **21** Ὥσπερ – λύπη] cf. ibid. 25, 20a$^{1-2}$

---

**12 – 790, 4 II$^{1}$1421 *Versio* V PM T R** **12 – 18** Πέμπτος – ἐμποιεῖ] Iohannes Cassianus, *Ad Castorem de octo spiritibus nequitiae* (Philokalia, I, p. 74, 22–29) **19 – 790, 1** Διατοῦτο – αἰτίους] Ibid. (Philokalia, I, p. 74, 32 – 75, 7)

---

**3** τούτου] *correxi (ed.)*, τοῦτο K **3 – 4** ἐν τῷ] *correxi (ed.)*, ἐκ τοῦ K **6 – 7** ἀνυπομονησία] *correxi (ed.)*, ἀνυπομνησία K **7** μῖσος K$^{a.c.}$ **12 – 790, 4** *Versio* V PM T R **12** Πέμπτος] πολὺς R **13** καὶ] *om.* R **14** δράξηται] -ητ- *e corr.* V$^{W}$, δράξεται P T **14 – 15** τῆς ψυχῆς] τὴν ψυχὴν P T **15** σκοτώσει *(*σκω- M*)* V$^{W}$ PM T ἐκτελεῖν] ἐκτενεῖς *(-εῖς e corr.)* V$^{W}$ προθυμίας] *add.* ἐκτελεῖν V$^{W}$ **16** οὐ τῶν] οὔτε *(sic)* M ἱερῶν *(*ϊε- PM*)*, PM T R *(= ed.)* τὴν ὠφελείαν V$^{W\,p.c.}$ P ἐγκαρτερεῖ V$^{E}$V$^{O}$ **17** εὐκατάνυκτον T *(= ed.)* εἶναι] *om.* M **19 – 790, 4** Διατοῦτο – λογίων] καὶ τὰ ἑξῆς P, *om.* M T R **21** σὴς] *scripsi (ed.)*, σῆς V **25** παραλαβοῦσα] *sic* V καὶ ἀηδίας] *om.* V$^{W}$

πὸν ὑποβάλλει φεύγειν τοὺς ἀνθρώπους, ὡς αἰτίους. Ἥντινα λύπην οὕτως ὀφείλομεν ἐκκλίνειν, ὡς τὴν πορνείαν καὶ φιλαργυρίαν καὶ τὸν θυμὸν καὶ τὰ λοιπὰ τῶν παθῶν. Αὕτη δὲ θεραπεύεται διὰ προσευχῆς καὶ τῆς εἰς θεὸν ἐλπίδος καὶ μελέτης τῶν θείων λογίων.

---

**1 – 4** Ἥντινα – λογίων] IOHANNES CASSIANUS, *Ad Castorem de octo spiritibus nequitiae* (Philokalia, 1, 76, 2–5)

---

**2** πορνείαν] πόρνην $V^W$

## Τίτλος ε′ Περὶ λαλιᾶς καὶ τοῦ μὴ ὡς ἔτυχεν λαλεῖν.

### II$^1$1422 / K cap. Λ 5, 1

Ἀπὸ τοῦ Σιράχ·

Ἑτοίμασον λόγον, καὶ οὕτως ἀκουσθήσῃ,
σύνδησον παιδείαν, καὶ οὕτως ἀποκρίθητι.

### II$^1$1423 / K cap. Λ 5, 2

Τοῦ αὐτοῦ·

Δόξα καὶ ἀτιμία ἐν λαλιᾷ.

### II$^1$1424 / K cap. Λ 5, 3

Ἡσαΐου·

Κύριος δίδωσίν μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον.

### II$^1$1425 / K cap. Λ 5, 4

Ἐκ τῆς πρὸς Κολασσαεῖς ἐπιστολῆς·

Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

---

**1** Περὶ – λαλεῖν] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Χ 19

---

**4 – 5 II$^1$1422** Sir. 36, 4$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 144) **8 II$^1$1423** Sir. 5, 13$^1$ (Wahl, *Sirach-Text*, p. 58) **11 – 12 II$^1$1424** Is. 50, 4 (Wahl, *Prophetenzitate*, p. 423) **15 – 792, 2 II$^1$1425** Col. 4, 5–6

---

**1 Titlos** K (201v6–7) **3 – 5 II$^1$1422** K cap. Λ 5, 1 (201v[7]8–9) **7 – 8 II$^1$1423** K cap. Λ 5, 2 (201v[9]10) **10 – 12 II$^1$1424** K cap. Λ 5, 3 (201v[10]11–12) **14 – 792, 2 II$^1$1425** K cap. Λ 5, 4 (201v[12]13–16)

---

**5** σύνδησον] *scripsi (LXX)*, σύνδεσον K

Ὁ λόγος ὑμῶν ᾖ πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

## II$^1$1426 / K cap. Λ 5, 5

Τοῦ ἁγίου Γρηγορίου, ἐκ τοῦ Ὑποθῆκαι παρθένοις, τῶν Ἐπῶν·

| | |
|---|---|
| Ὅσσα φέριστ’ | Ὅσα βέλτιστα |
| ἀΐων, | ἀκούων, |
| καὶ φθέγγεο· | καὶ λάλει· |
| ὅσσα δὲ βάζεις, | ὅσα δὲ λαλεῖς, |
| Λεύσσοις | καὶ βλέποις χρηστὰ |
| προφ<ρ>ονέως. | προθύμως πράττε. |
| Ὄψις | Ἡ γὰρ θέα |
| δ’ ἐπὶ ἔργον ἐλαύνει. | ἐπὶ ἔργον διώκει. |

## II$^1$1427 / K cap. Λ 5, 6

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς πρὸς Γρηγόριον ἀσκητ<ικ>ῆς ἐπιστολῆς·

Προεξετάσαντα ἐν αὐτῷ τὸ ῥηθησόμενον, οὕτω δεῖ δημοσιεύειν τὸν λόγον.

---

**5 – 12 II$^1$1426** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 274–275 (PG 37, 599, 11–13) **16 – 17 II$^1$1427** Basilius Caesariensis, *Epistulae*, II, 5, 13–14 (ed. Courtonne, I, p. 10)

---

**4 – 12 II$^1$1426** K cap. Λ 5, 5 (201v[16–17]18–202r1) **14 – 17 II$^1$1427** K cap. Λ 5, 6 (202r[2]3–4)

---

**II$^1$1426** Ὑποθῆκαι] *scripsi*, ὑποθῆκαι K **II$^1$1427** ἀσκητικῆς] *scripsi*, ἀσκητὴν K

---

**5** Ὅσα] *scripsi*, ὅσσα K **10** προφρονέως] *scripsi (ed.)*, προφονέως K **16** Προεξετάσαντα] *correxi (ed.)*, προεξέτασαν τὰ K αὐτῷ] *scripsi*, αὐτῶι K, ἑαυτῷ *ed.*

## II[1]1428 / K cap. Λ 5, 7

Σχόλιον·

Ἐπίσκεψαι τὸν Περὶ βραχυλόγων παράλληλον, καὶ Περὶ τῶν φυλαττόντων τὴν ἑαυτοῦ γλῶσσαν.

---

**3** Περὶ βραχυλόγων] cf. III / par. 37[38] A **3 – 4** Περὶ[2] – γλῶσσαν] cf. III / par. 38[39] A

---

**3 – 4 II[1]1428** *Scholion*

---

**2 – 4 II[1]1428** K cap. Λ 5, 7 (202r[4]4–6)

*II$^2$ / T cap. Δ 18

**Τίτλος ϛʹ Περὶ λουππαίων καὶ ἐπαοιδῶν καὶ κο<τ>τιστῶν, καὶ ὅτι οὐ δεῖ ἀντιλαμβάνεσθαι τῶν τοιούτων ἢ συγκροτήσεως ἀξιοῦν.**

**δʹ Περὶ λουππαίων.**

**ηʹ Περὶ διακινητῶν καὶ ἀργοτρόφων καὶ λουππαίων πεφαντασμένων.**

## II$^1$1429 / K cap. Λ 6, 1

Τοῦ Σιράχ·

Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον
<καὶ> πάντας τοὺς προσάγοντας θηρίοις;
Οὕτω τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ
καὶ συμφυρόμενον ταῖς ἁμαρτίαις αὐτοῦ.

---

**9 – 12 II$^1$1429** Sir. 12, 13$^1$–14$^2$ (Wahl, *Sirach-Text*, p. 81)

---

**1 – 3 Titlos (a)** K (202r7–9) **4 Titlos (b)** V **5 – 6 Titlos (c)** PML$^b$ V$^{W\ addit.}$ I f. 99v(mg)mg–100rA1 H$^{I\ txt}$ A$^I$ (*cf.* *II$^2$ / T cap. Δ 18 titlos); *deest in* L$^{b\ pin}$ H$^{I\ pin\ (lac.)}$ **8 – 12 II$^1$1429** K cap. Λ 6, 1 (202r[9]10–13); *deest in* V PML$^b$ V$^{W\ addit.}$ I f. 99v(mg)mg–100rA1 H$^I$

---

**1 – 3 Titlos (a)** **1** λουππαίων] *correxi*, λουπέων K ἐπαοιδῶν – κοττιστῶν] ἀσωτευομένων K$^{pin}$ κοττιστῶν] *scripsi*, κοτιστῶν K$^{txt}$ **2** δεῖ] χρὴ K$^{pin}$ **2 – 3** ἢ – ἀξιοῦν] *om.* K$^{pin}$ **4 Titlos (b)** δʹ] *praem.* τίτλος V$^{W\ txt}$ λουππέων V$^E$V$^{O\ pin}$, λουπέων V$^W$ **5 – 6 Titlos (c)** **5** ηʹ] λδʹ H$^{I\ txt}$A$^{I\ txt}$, *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(*λδʹ *secund. ser.)*, *om.* V$^{W\ addit.}$ καὶ$^1$] *om.* H$^{I\ txt}$ A$^I$ **5 – 6** λουππαίων πεφαντασμένων] *om.* M **5** λουπαίων L$^{b\ pin}$, V$^{W\ addit.}$, λού$^π$ H$^{I\ txt}$ A$^{I\ pin}$, λουπʹ A$^{I\ txt}$ **5 – 6** πεφαντασμένου H$^{I\ txt}$ A$^I$

---

**10** καὶ] *supplevi (**II$^2$1584 / T cap. E 50, 6 *et LXX)*, *om.* K *(cf.* II$^1$279 / K cap. A 10, 13*)* **12** συμφυρόμενον] *scripsi (LXX)*, συμφυρώμενον K

## II$^1$1430 / K cap. Λ 6, 2 *II$^2$975 / T cap. Δ 18, 3

Τοῦ αὐτοῦ·

Δὸς τῷ εὐσεβεῖ καὶ μὴ ἀντιλαβοῦ τοῦ ἁμαρτωλοῦ.
Εὖ ποίησον ταπεινῷ καὶ μὴ δῷς ἀσεβεῖ·
ἐμπόδισον τὸν ἄρτον αὐτοῦ καὶ μὴ δῷς αὐτῷ·
διπλάσια γὰρ κακὰ εὑρήσει σε
ἐν πᾶσιν ἀγαθοῖς οἷς ἐὰν ποιήσῃς αὐτῷ,
ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτωλούς,
καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκεῖ κρίσιν.

## II$^1$1431 / K cap. Λ 6, 3 *II$^2$978 / T cap. Δ 18, 6

Διδύμου·

Μείζονα καὶ σπουδαιοτέραν τὴν ἐπιμέλειαν ποιοῦ εἰς τοὺς δι' ἀρετὴν καὶ θεοσέβειαν πτωχεύσαντας ἢ πενομένους, ἄλλως εἰς

---

**3** Δὸς – ἁμαρτωλοῦ] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 7.7./6. (ed. Ihm, p. 160) **12 – 796, 2** exstat ibid., 7.-./34a. et 12.32./31. (p. 176 et 294–295)

---

**3 – 5 II$^1$1430** Δὸς – αὐτῷ] Sir. 12, 4–5$^2$ (Wahl, *Sirach-Text*, p. 80) **6 – 9** διπλάσια – κρίσιν] Ibid. 12, 5$^4$–6$^2$ (Wahl, p. 80) **12 – 796, 2 II$^1$1431** DIDYMUS ALEXANDRINUS, locus non repertus; Harris, p. 75

---

**2 – 9 II$^1$1430** K cap. Λ 6, 2 (202r[13]14–19); V cap. Λ 4, 1; PM cap. Δ 8, 1; $V^{W\ addit.}$ I f. 99v(mg)mg–100rA1; $H^I$ cap. Δ 34, 1; *deest in* $L^b$; PG 96, 101, 26–32 **11 – 796, 2 II$^1$1431** K cap. Λ 6, 3 (202r[20]21–202v1); V cap. Λ 4, 2; PM cap. Δ 8, 2; $V^{W\ addit.}$ I f. 100rA(9)9–16; $H^I$ cap. Δ 34, 2; *deest in* $L^b$; PG 86, 2085, 7–12 *(falso sub titulo* Περὶ λαλιᾶς); PG 96, 101, 33–37

---

**II$^1$1430** (a) K (b) Τοῦ Σιράχ V PM $V^{W\ addit.}$ $H^I$ Τοῦ] *om.* V $H^I$ σιραχ $V^O$ M **II$^1$1431** (a) V PM $V^{W\ addit.}$ διδυμου M (b) Φίλωνος, ἐκ τῶν ἐν τῷ Λευϊτικῷ ζητημάτων K (c) *s. a.* $H^I$

---

**3** ἀσεβεῖ $V^{W\ addit.}$ τοῦ ἁμαρτωλοῦ] τῶ ἁμαρτωλω *(sic)* M **4** εὐποίησον K $V^EV^O$ δὼς $V^{O\ a.\ c.}$, δὸς $V^EV^WV^{O\ p.\ c.}$ $V^{W\ addit.}$, δος M ἀσεβῶν P **5** δὸς $V^EV^WV^{O\ p.\ c.}$ P, δὼς $V^{O\ a.\ c.}$ **6** κακὰ] *om.* $V^{W\ addit.}$ εὑρήσει σε] εὑρήσει εἰς σε $P^{a.\ c.}$, εὑρήσεις εἰς σε $P^{p.\ c.}$, εὑρήσει εἰς σὲ M $V^{W\ addit.}$ $H^I$ **7** οἷς ἐὰν] σοῖς. ἀν M ποιησεις M, ποιεῖς $V^EV^O$, ποιῇς $V^W$ **8** ὁ] *om.* $H^I$ **9** ἀπὸ δοσει *(sic)* P, ἐπιδόσει $V^{W\ addit.}$ ἐκεῖ κρίσιν] ἐκῆ κρίσιν $V^O$, κρίσιν K, ἐκδίκησιν *LXX* **13** καὶ] ἢ K, ἡ δι καὶ M πενωμενους M, ἐπαινουμένους $V^W$ ἄλλως] ἀλλ' ὡς K $V^O$

τοὺς ἐκ νόσων ἢ συμπτωμάτων ἀποροῦντας παρὰ τοὺς ἐκ κακοπραγίας ἢ ἀσωτίας πτωχεύσαντας.

## <II[1] suppl. 339–340 / V cap. Λ 4, 3–4>

**3 II[1] suppl. 339–340** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**1** τοὺς[1]] τὸ $V^{W}$ ἢ] *add.* τῶν $V^{E}V^{O}$ τοὺς[2]] *om.* $V^{W\ addit.}$ **2** ασωτίαν *(sic)* M ὑπωχεύσαντας $H^{I}$

# Στοιχεῖον Μ

**Τίτλος α′ Περὶ μεθυστῶν, <καὶ ὅτι οὐ χρὴ συμποσιάζειν αὐτοῖς>.** *II$^2$ / R cap. M 1

**ε′ Περὶ μεθυόντων.**

**α′ Περὶ μεθυστῶν καὶ ἀσώτων.**

**<γ′> Περὶ μεθυστῶν.**

## II$^1$1432 / K cap. M 1, 1

*II$^2$1911 / R cap. M 1, 1

Τῆς Ἐξόδου·

Ἀκούσας Ἰησοῦς τὴν φωνὴν τοῦ λαοῦ κραζόντων, λέγει πρὸς Μωϋσῆν· Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. Καὶ λέγει· Οὐκ ἔστι φωνὴ ἐξ ἀρχόντων κατ᾽ ἰσχύν, οὐδὲ φωνὴ ἐξ ἀρχόντων τροπῆς, ἀλλὰ φωνὴ<ν> ἐξ ἀρχόντων οἴνου ἐγὼ ἀκούω.

## II$^1$1433 / K cap. M 1, 2

Βασιλειῶν γ′·

Ἠλὰ υἱὸς Βαασσᾶ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ δύο ἔτη· καὶ συνεστρά-

---

**9 – 12 II$^1$1432** Ex. 32, 17–18 **15 – 798, 4 II$^1$1433** III Reg. 16, 8–10 (Wahl, *3 Könige-Text*, p. 109)

---

**1 Stoicheion** K$^{txt}$ (202v1) K$^{pin}$ **2 – 3 Titlos (a)** K (202v2) **4 Titlos (b)** V A$^{pin}$; *deest in* H$^{I}$A$^{I\,txt}$ **5 Titlos (c)** P$^{cap.\,M\,1}$ ML$^{b\,pin}$ (*cf.* *II$^2$ / R cap. M 1 titlos); *deest in* L$^{b\,txt}$ **6 Titlos (d)** P$^{cap.\,Ω\,3}$ **8 – 12 II$^1$1432** K cap. M 1, 1 (202v[2]3–7); *deest in* V H$^{I}$ P$^{cap.\,M\,1}$ ML$^{b}$ P$^{cap.\,Ω\,3}$ **14 – 798, 4 II$^1$1433** K cap. M 1, 2 (202v[7]8–13); *deest in* V H$^{I}$ P$^{cap.\,M\,1}$ ML$^{b}$ P$^{cap.\,Ω\,3}$

---

**2 – 3 Titlos (a)** **2 – 3** καὶ – αὐτοῖς] *supplevi e* K$^{pin}$, *om.* K$^{txt}$ **4 Titlos (b)** ε′] *non liquet in* A$^{I\,pin}$ *(ε′ secund. ser.), praem.* τίτλος V$^{W\,txt}$ μεθυόντων] μεθυσκομένων V$^{W}$, *add.* καὶ ἀσώτων V$^{W\,txt}$ **5 Titlos (c)** μεθυόντων M$^{txt}$ **6 Titlos (d)** γ′ – μεθυστῶν] *om.* P$^{pin}$ γ′] *supplevi, om.* P$^{cap.\,Ω\,3\,txt}$

---

**12** φωνὴν] *scripsi (LXX)*, φωνὴ K **15** Ἠλὰ] *scripsi*, ἠλᾶ K

φη ἐπ’ αὐτὸν Ζαμβρί, ἄρχων τῆς ἡμίσους ἵππου, καὶ αὐτὸς ἐν Θαρσᾷ πίνων καὶ μεθύων ἐν τῷ οἴκῳ Ὀσᾶ, τοῦ οἰκονόμου ἐν Θαρσᾷ. Καὶ εἰσῆλθε Ζαμβρὶ καὶ ἐπάταξεν αὐτὸν καὶ ἐθανάτωσεν αὐτόν, καὶ ἐβασίλευσεν ἀντ’ αὐτοῦ.

## II$^1$1434 / K cap. M 1, 3

Τῆς αὐτῆς·

Υἱὸς Ἄδερ πίνων καὶ μεθύων ἐν Σοκχώθ, αὐτὸς καὶ οἱ βασιλεῖς, τριακονταδύο βασιλεῖς συμβοηθοὶ μετ’ αὐτοῦ. Καὶ ἐξῆλθε τὰ παιδάρια τῶν χωρῶν ἐν πρώτοις· καὶ ἔφυγε Συρία καὶ κατεδίωξεν αὐτὸν Ἰσραήλ.

Υἱὸς Ἄδερ πίνων καὶ μεθύων, αὐτὸς καὶ βασιλεῖς τριακονταδύο συμβοηθοὶ μετ’ αὐτοῦ. Ἐξῆλθε τὰ παιδάρια τῶν χωρῶν καὶ ἔφυγε Συρία.

## <II$^1$suppl. 341 / PML$^b$ cap. M 1, 3>

**13 II$^1$suppl. 341** cf. *Sacra.* Liber II. *Supplementum* (Band VIII/8)

**7 – 10 II$^1$1434 *Versio* K** **7 – 9** Υἱὸς – πρώτοις] III Reg. 21, 16–17 (Wahl, *3 Könige-Text*, p. 117) **9 – 10** καὶ – Ἰσραήλ] Ibid. 21, 20 (Wahl, p. 117) **11 – 12 II$^1$1434 *Versio* V P$^{\text{cap. M 1}}$ M P$^{\text{cap. Ω 3}}$** **11 – 12** Υἱὸς – χωρῶν] III Reg. 21, 16–17 (Wahl, *3 Könige-Text*, p. 117) **12** καὶ – Συρία] Ibid. 21, 20 (Wahl, p. 117)

**6 – 12 II$^1$1434** K cap. M 1, 3 (202v[13]14–17); V$^E$V$^O$ cap. M 5, 1; V$^W$ cap. M 5, 1–2; PM cap. M 1, 1–2; P cap. Ω 3, 1; *deest in* H$^I$ L$^b$; PG 96, 156, 53 – 157, 2

**II$^1$1434** (a) K (b) Βασιλειῶν γʹ V$^E$V$^O$ P$^{\text{cap. Ω 3}}$ (c) Βασιλειῶν γʹ / Τῆς αὐτῆς P$^{\text{cap. M 1}}$ *(cf. infra, app. crit. text.)* (d) Βασιλειῶν αʹ / Τῶν αὐτῶν V$^W$ *(cf. infra, app. crit. text.)* (e) Βασιλειῶν αʹ / Τοῦ αὐτοῦ M *(cf. infra, app. crit. text.)*

**1** ἄρχων] *scripsi (LXX)*, ἄρχον K ἡμίσους] *correxi (LXX)*, ἡμίσσου K *(signo quo solebant scribae ad textum in mg. referre superscripto)* **11 – 12** *Versio* V P$^{\text{cap. M 1}}$ M P$^{\text{cap. Ω 3}}$ **11** ἀδὲρ P$^{\text{cap. M 1}}$ M μεθύον P$^{\text{cap. M 1}}$ P$^{\text{cap. Ω 3}}$ τριακονταδύο] λβʹ V συμβοηθοὶ] *post* αὐτοῦ *transpos.* M **12** αὐτοῦ] *hic caesura in* V$^W$ PM εἰσῆλθεν M, *add.* δὲ V$^E$V$^O$ χώρων P$^{\text{cap. M 1}}$, χορῶν *(-ων* P$^{\text{cap. Ω 3}}$*)* V$^E$V$^O$ P$^{\text{cap. Ω 3}}$

## II$^1$1435 / K cap. M 1, 4

***II$^2$1912 et *II$^2$1915 / R cap. M 1, 2 et 5**

Τῶν Παροιμιῶν·

Μὴ ἴσθι οἰνοπότης,
μὴ δὲ ἐκτείνου συμβολαῖς κρεῶν τε ἀγορασμοῖς·
πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει.

## II$^1$1436 / K cap. M 1, 5

***II$^2$1913 / R cap. M 1, 3**

Τῶν αὐτῶν·

Ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς,
ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

## II$^1$1437 / K cap. M 1, 6

Τῶν αὐτῶν·

Τίνι οὐαί; Τίνι θόρυβος; Τίνι κρίσις;

---

**3** Μὴ – οἰνοπότης] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.4./4. (ed. Ihm, p. 626) **5** πᾶς – πτωχεύσει] exstat ibid., 30.4./4. (p. 626) **8 – 9** exstat ibid., 30.5./5. (626–627)

---

**3 – 5 II$^1$1435** Prov. 23, 20$^1$–21$^1$ (Wahl, *Proverbien-Text*, p. 110) **8 – 9 II$^1$1436** Prov. 12, 11a$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 62) **12 – 800, 5 II$^1$1437** Prov. 23, 29$^1$–30$^2$ (Wahl, *Proverbien-Text*, 111–112)

---

**2 – 5 II$^1$1435** K cap. M 1, 4 (202v[mg]18–20); V$^E$V$^O$ cap. M 5, 2; V$^W$ cap. M 5, 4; PM cap. M 1, 4; P cap. Ω 3, 3; *deest in* H$^I$ L$^b$; PG 96, 157, 3–4 **7 – 9 II$^1$1436** K cap. M 1, 5 (202v[20]21–22); V$^E$V$^O$ cap. M 5, 3; V$^W$ cap. M 5, 5; PM cap. M 1, 5; P cap. Ω 3, 4; *deest in* H$^I$ L$^b$; PG 96, 157, 5–6 **11 – 800, 5 II$^1$1437** K cap. M 1, 6 (202v[22]23–203r3); V$^E$V$^O$ cap. M 5, 4; V$^W$ cap. M 5, 6; PM cap. M 1, 6; P cap. Ω 3, 5; *deest in* H$^I$ L$^b$; PG 96, 157, 7–10

---

**II$^1$1435** Τῶν] *om.* V P$^{\text{cap. M 1}}$ P$^{\text{cap. Ω 3}}$ M **II$^1$1436** (a) K (b) *s. a.* V P$^{\text{cap. M 1}}$ P$^{\text{cap. Ω 3}}$ (c) *s. d.* M **II$^1$1437** (a) K M (b) Τῶν Παροιμιῶν V$^W$ (c) *s. a.* V$^E$V$^O$ P$^{\text{cap. M 1}}$ P$^{\text{cap. Ω 3}}$

---

**2 – 5 II$^{1}$1533** K cap. Ξ 2, 2 (208v[3]4–6); V cap. Ξ 1, 2; PM cap. Ξ 2, 2; L$^{c}$ cap. Ξ 1, 2; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 204, 28–30 **7 – 13 II$^{1}$1534** K cap. Ξ 2, 3 (208v[6]7–12); V cap. Ξ 1, 3; PM cap. Ξ 2, 3; L$^{c}$ cap. Ξ 1, 3; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 204, 31–37

---

**II$^{1}$1533** (a) K (b) *s. d.* V PM L$^{c}$ **II$^{1}$1534** (a) K V$^{W}$ P (b) Τοῦ αὐτοῦ M (c) Βασιλειῶν κρητῶν *(sic)* V$^{E}$ (d) *s. a.* V$^{O}$ L$^{c}$

---

**3** αωδ P, ἀδὼδ M, ὠδ *(sic)* L$^{c}$ ἀνέστη Μεγὰρ] ἀνέστημεν γὰρ L$^{c}$ Μεγὰρ] *sic* V PM, γὰρ K, Σαμεγὰρ *LXX* υἱὸς Ναάθ] *om.* V PM L$^{c}$ Ναάθ] *sic* K, Αναθ *LXX* **4** ἄνδρας] *om.* K ἐν – ἀροτρόποδι] ἐκτὸς μόσχων (-ον V$^{W}$) V$^{W}$ P, ἐκ τῶν μόσχων L$^{c}$, ἐκ τοῦ μόσχου M ἀροτρώ ποδι (-ϊ V$^{O}$) V$^{E}$V$^{O}$, ἀρότρωι ποδὶ K **5** καί γε αὐτὸς] *om.* V PM L$^{c}$ **8** σαμψῶν P, σαμφὼν L$^{c}$ αὐτοῦ$^{1}$] αὐτῶν P **8 – 9** θαμναθά L$^{c}$, θάμναθα V$^{E\ a.\ c.}$, θαμνατα P, θαμνὰ K **9** καὶ$^{1}$ – ἀμπελῶνος] *om.* K ἦλθον V ἀμπελῶνος] κενῶς (-ως P) V$^{W\ a.\ c.}$ P, κενός V$^{W\ p.\ c.}$, κινός M, μενώς L$^{c}$ λέοντος] *add.* ὀπίσω K (*vox suspecta*, ὠρυόμενος *LXX)* **10** ἥλατο] *scripsi*, ἤλατο K$^{a.\ c.}$, ήλατο *(sic)* V$^{E}$V$^{O}$ M, ἥλλατο P L$^{c}$, εἵλατο K$^{p.\ c.\ in\ mg.}$, εἵλατο *e corr.* V$^{W}$, κλάτο *(sic)* V$^{O}$ αὐτὸ V$^{O}$ **10 – 11** διεπέστασεν *(sic)* M **11** ὡσεὶ] ὡς V PM L$^{c}$ **12** αὐτοῦ$^{2}$] *om.* M

## II¹1535 / K cap. Ξ 2, 4

Τῶν αὐτῶν·

Ἐπορεύθη Σαμψὼν καὶ συνέλαβε τριακοσίας ἀλώπεκας, καὶ ἔλαβε λαμπάδας, καὶ ἔστρεψε κέρκον πρὸς κέρκον, καὶ ἔθηκε λαμπάδα μίαν ἀναμέσον τῶν δύο κέρκων ἐν τῷ μέσῳ, καὶ ἔδησεν· καὶ ἐξῆψε πῦρ ἐν ταῖς λαμπάσιν, καὶ ἐξαπέστειλεν ἐν τοῖς στάχυσι τῶν ἀλλοφύλων, καὶ ἐνεπύρισεν τοὺς στάχυας τῶν ἀλλοφύλων ἀπὸ ἅλωνος ἕως σταχύων ὀρθῶν, καὶ ἕως ἀμπελῶνος καὶ ἐλαίας.

## II¹1536 / K cap. Ξ 2, 5

Τῶν αὐτῶν·

Εἶπεν Σαμψών· Ἐν σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς, ὅτι ἐν σιαγόνι ὄνου ἐπάταξα χιλίους ἄνδρας. Καὶ ἐγένετο ὡς ἐπαύσατο λαλῶν, ἔρριψε τὴν σιαγόνα ἀπὸ τῆς χειρὸς αὐτοῦ, καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Ἀναίρεσις σιαγόνος. Καὶ ἐδίψησε σφόδρα, καὶ ἐβόησε πρὸς κύριον· Σὺ εὐώδωσας ἐν χειρὶ τοῦ δούλου σου τὴν σωτηρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν ἀποθνήσκω ἐν δίψει, καὶ ἐμπεσοῦμαι εἰς χεῖρας τῶν ἀπεριτμήτων. Καὶ ἤνοιξεν ὁ θεὸς τὸ

---

**3 – 8 II¹1535** Iud. 15, 4–5 (Wahl, *Richter-Text*, p. 34) **11 – 855, 4 II¹1536** Iud. 15, 16–19 (Wahl, *Richter-Text*, p. 35–36)

---

**2 – 8 II¹1535** K cap. Ξ 2, 4 (208v[12]13–20); V cap. Ξ 1, 4; PM cap. Ξ 2, 4; L^c cap. Ξ 1, 4; *deest in* H^I L^b; PG 96, 204, 38–43 **10 – 855, 4 II¹1536** K cap. Ξ 2, 5 (208v[20]21–209r10); V cap. Ξ 1, 5; PM cap. Ξ 2, 5; L^c cap. Ξ 1, 5; *deest in* H^I L^b; PG 96, 204, 44–52

---

**II¹1535** (a) K (b) *s. a.* V^E V^O (c) *s. d.* V^W PM L^c **II¹1536** (a) K V^W P (b) Τοῦ αὐτοῦ M (c) *s. a.* V^E V^O L^c

---

**3** Ἐπορεύθη] *add.* δὲ V^W PM L^c σαμψον P τριακοσίους V^E V^O **4** ἔθϋκε V^O, εθικεν P, *post* λαμπάδα *transpos.* M **5** μίαν] *om.* M δύο κέρκων] κερκων τῶν δύο M ἐν – μέσῳ] *om.* PM L^c V^W **5 – 7** ἐξῆψε – καὶ] *om.* V^E V^O **5** ἐξῆψε] ἐξέκαυσε (ἐξε- M; -εν PM) PM L^c V^W **6 – 7** ἐξαπέστειλεν – καὶ] *om.* PM L^c V^W **7** ἐνεπύρησεν V^E V^O **7 – 8** ἅλωνος V^E V^O M, άλωνος *(sic)* P, ἄλλωνος V^W **8** στάχυων K, σταχυων P, ταχύων M **11** σαμψῶν P **12** ὄνου] *om.* L^c ἐπάταξα] ἐπάταξε V^O **12 – 14** Καὶ – σιαγόνος] *om.* V PM L^c **13** αὐτοῦ] *scripsi (LXX)*, αὑτοῦ K **15** εὐώδοσας V **16** ταύτην] *om.* M ἀποθνήσκωι K δίψηι K **17** ἐνπεσοῦμαι P ἀπεριτμήτων] *add.* τούτων K

τραῦμα τὸ ἐν τῇ σιαγόνι, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδατα, καὶ ἔπιεν, καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτοῦ, καὶ ἔζησεν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτῆς Πηγὴ τοῦ ἐπικαλεσαμένου, ἥ ἐστιν ἐν Σιαγόνι μέχρι τῆς ἡμέρας ταύτης.

## II$^1$1537 / K cap. Ξ 2, 6

Τῶν αὐτῶν·

Ἐπορεύθη Σαμψὼν εἰς Γάζαν, καὶ εἶδεν ἐκεῖ γυναῖκα πόρνην καὶ εἰσῆλθε πρὸς αὐτήν. Καὶ ἀπηγγέλη τοῖς Γαζαίοις, λέγοντες·Ἥκει Σαμψὼν ὧδε. Καὶ ἐκύκλωσαν καὶ ἐνήδρευσαν αὐτὸν ὅλην τὴν νύκτα ἐν τῇ πύλῃ τῆς πόλεως, καὶ ἐκώφευσαν ὅλην τὴν νύκτα, λέγοντες· Ὡς διαφαύσει ὁ ὄρθρος, φονεύσωμεν αὐτόν. Καὶ ἐκοιμήθη Σαμψὼν ἕως μεσονυκτίου, καὶ ἀνέστη ἐν ἡμίσει τῆς νυκτός, καὶ ἐπελάβετο τῶν θυρῶν τῆς πύλης τῆς πόλεως σὺν τοῖς δυσὶ σταθμοῖς, καὶ ἀνεβίβασεν αὐτὰς σὺν τῷ μοχλῷ, καὶ ἔθηκεν ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ ἀπήνεγκεν αὐτὰ ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους τοῦ ἐπὶ πρόσωπον Χεβρῶν, καὶ ἔθηκεν αὐτὰ ἐκεῖ.

---

**7 – 16 II$^1$1537** Iud. 16, 1–3 (Wahl, *Richter-Text*, p. 36–37)

---

**6 – 16 II$^1$1537** K cap. Ξ 2, 6 (209r[10]11–23); V cap. Ξ 1, 6; PM cap. Ξ 2, 6; L$^c$ cap. Ξ 1, 6; *deest in* H$^I$ L$^b$; PG 96, 204, 53 – 205, 6

---

**II$^1$1537** (a) K P L$^c$ Τῶν] ἐ *(rubricatoris vitio)* L$^c$ (b) Τοῦ αὐτοῦ M (c) κρητῶν *(sic)* V$^E$V$^O$ (d) *s. a.* V$^W$

---

**1** τῇ] *om.* K ὕδωρ M **2** ἐπέστρεψεν – καὶ$^3$] *om.* K **2 – 4** καὶ$^3$ – ταύτης] *om.* V PM L$^c$ **7** Ἐπορεύθη – Γάζαν] *om.* V$^O$ σαμψων P γαζὰν K, γαζαν M εἶδεν] ἴδεν K V, ἵδεν PM ἐκεῖ] *om.* M **8** απηγγελη P, ἀπηγγέλει V$^E$V$^W$, ἀάπηγγέλει *(sic)* V$^O$, ἀνηγγέλει M, *non liquet in* L$^c$ τοῖς Γαζαίοις] τοῦ γαζαίου L$^c$ **9** σαμψῶν P ὧδε V$^W$ L$^c$, ωδε P, ὅδε V$^E$V$^O$ ἐνήδρευσαν] -ή- *e corr.* V$^W$, ἐνέδρευσαν *(*ἐνε- P*)* V$^E$V$^O$ P, ἐνήδρεσαν L$^c$, ἐπέδησαν M **10** νύκτα$^1$] νύκταν M ἐκοφευσαν P, ἐσκόπησαν K νύκτα$^2$] νυκταν *(sic)* M **11** διαφαύσει ὁ] διαφαύσει τὸ *(*το P*)* V$^W$ P, δϊαφαύσοιτο L$^c$ ὄρθος V$^E$ φονεύσομεν V P **12** σαμψων P ημίσει M, ημησει P, μέσω K **13** ἐπελαθετο P τῆς πύλης] *post* τῆς πόλεως *transpos.* M **14** στάθμοις K αὐτὰ V, αυτα P ἔθηκεν] *add.* αὐτὰ *(*αυ- PM; -τα P*)* V$^W$ PM L$^c$ **15** τοῦ ὤμου L$^c$, τοῦ σώματος M αὐτοῦ] *om.* V$^E$V$^O$ **16** τοῦ – Χεβρῶν] *om.* V PM L$^c$ αὐτὰ] *om.* V$^O$

## II$^1$1538 / K cap. Ξ 2, 7

Τῶν αὐτῶν·

…ἑπτακόσιοι ἄνδρες ἐκλεκτοὶ ἐκ παντὸς τοῦ λαοῦ ἀμφοτεροδέξιοι· πάντες οὗτοι σφενδονῆται ἐν λίθῳ πρὸς τρίχα, καὶ οὐκ ἐξαμαρτάνοντες.

## II$^1$1539 / K cap. Ξ 2, 8

Βασιλειῶν α′

…καὶ οἱ μετὰ Δαυῒδ ἄνδρες ἰσχυροί, παρατάξεως πολέμου, αἴροντες θυρεοὺς καὶ δόρατα, καὶ πρόσωπον λέοντος τὸ πρόσωπον αὐτῶν, καὶ κοῦφοι ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τῷ τάχει.

## II$^1$1540 / K cap. Ξ 2, 9

Βασιλειῶν β′·

Ἀσαὴλ κοῦφος τοῖς ποσίν, ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ.

---

**3 – 5 II$^1$1538** Iud. 20, 15–16 (Wahl, *Richter-Text*, p. 42) **8 – 10 II$^1$1539** I Reg., re vera I Par. 12, 9 (deest apud Wahl, *1 Chronik-Text*) **13 II$^1$1540** II Reg. 2, 18 (Wahl, *2 Samuel-Text*, p. 82)

---

**2 – 5 II$^1$1538** K cap. Ξ 2, 7 (209r[mg]209v1–3); V cap. Ξ 1, 7; P cap. Ξ 2, 7; L$^c$ cap. Ξ 1, 7; *deest in* H$^I$ ML$^b$; PG 96, 205, 7–9 **7 – 10 II$^1$1539** K cap. Ξ 2, 8 (209v[3]4–7); *deest in* V H$^I$ PML$^b$ L$^c$ **12 – 13 II$^1$1540** K cap. Ξ 2, 9 (209v[7]8–9); V cap. Ξ 1, 8; P cap. Ξ 2, 8; M cap. Ξ 2, 7; L$^c$ cap. Ξ 1, 8; *deest in* H$^I$ L$^b$; PG 96, 205, 10–11

---

**II$^1$1538** (a) K P L$^c$ Τῶν] ἐ *(rubricatoris vitio)* L$^c$ (b) βασιλι *(sic)* V$^W$ (c) *s. a.* V$^E$V$^O$ **II$^1$1540** (a) K PM L$^c$ (b) Βασιλειῶν α′ V$^E$V$^O$ α′] *om.* V$^O$ (c) Τῶν αὐτῶν V$^W$

---

**3 – 4** ἀμφοτεροδέξιοι – οὗτοι] *post* οὗτοι *interpunx.* V$^E$V$^O$, *post* πάντες V$^W$, *sine interpunctione* P **4** σφενδονίται V$^W$, σφενδονειτε P, σφενδονισταὶ K L$^c$ οὐκ] *iterav.* L$^c$ **13** ασαηλ P, ϊσαὴλ *(rubricatoris vitio)* L$^c$, *add.* ἦν K κουφος PM, κούφως V$^E$V$^O$ ὡσεὶ] ὡς ἡ M

## II$^1$1541 / K cap. Ξ 2, 10

Τῆς αὐτῆς·

Κειρόμενος Ἀβεσσαλὼμ ἵστα τὴν τρίχα τῆς κεφαλῆς αὐτοῦ διακοσίους σίκλους τῷ βασιλικῷ.

## II$^1$1542 / K cap. Ξ 2, 11

Τοῦ ἁγίου Βασιλείου, τοῦ ε′ λόγου τῆς Ἑξαημέρου·

Πάντα ἐν πᾶσι μέμικται· καὶ ἐν γῇ εὑρήσεις ὕδωρ καὶ ἀέρα καὶ πῦρ, εἶτα ἐκ λίθων μὲν πῦρ ἐξάλλεται, ἐκ σιδήρου δέ, ὃ καὶ αὐτὸ ἔχει ἀπὸ γῆς τὴν γένεσιν, πῦρ ἄφθονον ἐν ταῖς παρατρίψεσιν πέφυκεν ἀπολάμπειν. Ὃ καὶ θαυμάσαι ἄξιον, πῶς ἐν μὲν τοῖς σώμασιν ὑπάρχον τὸ πῦρ, ἀβλαβῶς ἐμφωλεύει, προκληθὲν δὲ ἐπὶ τὰ ἔξω, δαπανητικόν ἐστι τῶν φυλασσόντων.

---

**3 – 4 II$^1$1541** II Reg. 14, 26 (Wahl, *2 Samuel-Text*, p. 89) **7 – 12 II$^1$1542** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, re vera I, 7 (ed. Mendieta†/Rudberg, p. 13, 17 – 14, 2)

---

**2 – 4 II$^1$1541** K cap. Ξ 2, 10 (209v[9]10–11); *deest in* V H$^I$ PML$^b$ L$^c$ **6 – 12 II$^1$1542** K cap. Ξ 2, 11 (209v[11]12–19); V cap. Ξ 1, 9; P cap. Ξ 2, 9; M cap. Ξ 2, 8; L$^c$ cap. Ξ 1, 9; *deest in* H$^I$ L$^b$; PG 96, 205, 12–19

---

**II$^1$1542** (a) PM L$^c$ Τοῦ ἁγίου] *om.* L$^c$ (b) Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς Ἑξαημέρου K (c) Βασιλείου V$^E$V$^W$ (d) Τοῦ αὐτοῦ V$^O$

---

**3 – 4** διακοσίους] *correxi (LXX)*, πέντε K *(ε′ pro* c′ *ut videtur)* **4** *post* σίκλους *hab.* ἐν τῷ σίκλῳ *LXX* **7** γῇ] ὀργῇ V$^O$ **8** εἶτα] καὶ K, εἶγε *ed.* δέ] *om.* K *(s. l. supplev. man. rec.)*, *ante* σιδήρου *transpos.* M ὃ] ὅπερ M, *om.* V$^W$ P L$^c$ **9** ἀπὸ] ἐκ M ἄφθονον] ἀφανῶς PM V$^W$ L$^c$ **10** ἀπολάμπην V$^E$V$^{W\ a.\ c.\ ut\ videtur}$ V$^O$ θαυμᾶσαι V$^W$, θαύματος K μὲν] *post* σώμασιν *transpos.* M **11** ὑπάρχων V PM ἐμφολεύει V$^E$V$^{W\ p.\ c.}$ V$^O$ PM, ἐμφολεύων V$^{W\ a.\ c.}$ προκλιθὲν K, προσκλιθὲν V$^E$V$^O$ **12** τῶν] *praem.* ἀπὸ L$^c$

## $II^{1}$1543 / K cap. Ξ 2, 12

Ἐκ τοῦ ζʹ λόγου·

Εἴποις δ’ ἂν καὶ περὶ θαλάσσης αὐτῆς πῶς εἰς ἅλας τὸ ὕδωρ πήγνυται, πῶς ὁ πολυτίμητος λίθος, τὸ κοράλλιον, χλόη μέν ἐστι τῆς θαλάσσης, ἐπειδὰν δὲ εἰς τὸν ἀέρα ἐξενεχθῇ, πρὸς λίθου στερρότητα μεταπήγνυται, πόθεν τῷ εὐτελεστάτῳ ζώῳ, τῷ ὀστρέῳ, τὸν βαρύτιμον μαργαρίτην ἡ φύσις ἐνέθηκεν – ἃ γὰρ ἐπιθυμοῦσι θησαυροὶ βασιλέων, ταῦτα περὶ αἰγιαλοὺς καὶ ἀκτὰς καὶ τραχείας πέτρας διέρριπται, τοῖς τῶν ὀστρέων σώμασιν ἐγκείμενα –, πόθεν τὸ χρυσοῦν ἔριον αἱ πίνναι τρέφουσιν, ὅπερ οὐδεὶς τῶν ἀνθοβάφων μέχρι νῦν ἐμιμήσατο, πόθεν αἱ κογχύλαι τοῖς βασιλεῦσιν τὴν ἁλουργίδα χαρίζονται, αἳ καὶ τὰ ἄνθη τῶν λειμώνων τῇ εὐχροίᾳ παρέδραμον.

---

**3 – 13** **$II^{1}$1543** BASILIUS CAESARIENSIS, *Homiliae in Hexaemeron*, VII, 6 (ed. Mendieta†/Rudberg, p. 123, 3–12)

---

**2 – 13** **$II^{1}$1543** K cap. Ξ 2, 12 (209v[19]20–210r10); V cap. Ξ 1, 10; P cap. Ξ 2, 10; M cap. Ξ 2, 9; $L^{c}$ cap. Ξ 1, 10; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 205, 20–32

---

**$II^{1}$1543** (a) PM $L^{c}$ ζʹ λόγου] ζηλόγου $L^{c}$ (b) Ἐκ τῆς αὐτῆς K (c) Τοῦ αὐτοῦ V

---

**3** δ’ ἂν] δὲ $V^{W}$ PM $L^{c}$ καὶ] *om.* V PM $L^{c}$ **4** πολὕτῖμος $L^{c}$ κοράλιον K $V^{W}$, κουράλϊον $L^{c\ a.\ c.}$, κουράλλϊον $L^{c\ p.\ c.}$, κοραάλλϊον $V^{O\ a.\ c.}$ χλοὴ M **5** τὸν] *om.* M ἐξενεχθείη M **6** τὸ ευτελεστατον M ζώῳ] ζῶον M, τῶν ζώων K τῷ ὀστρέῳ] τὸ ὀστρέω $V^{E}V^{O}$, στρέω P **8** θησαυροῖ $V^{E}V^{O}$, θησαυροι P, θησαυροῖς K **9** διέριπται $V^{E}$, διέρρηκται M **10** αἱ] *om.* M πίναι $V^{E}V^{O}$ M, πῖναι *e corr.* K **10 – 11** ἀνθοβαφῶν $V^{E}V^{W}V^{O\ p.\ c.}$, ανθοβαφων P, ἀνθοβατῶν $V^{O}$ **11** μέχρι] *add.* τοῦ M πόθεν] *add.* δὲ *(*δε P*)* $V^{W}$ P $L^{c}$ κόγχαι *(*κο- P*)* $V^{W\ e\ corr.}$ PM $L^{c}$, κόχλαι $V^{E}V^{O}$ **11 – 12** τὴν ἁλουργίδα] τὰς ἁλουργίδας *ed.* **12** αἳ] ἢ K, ἔτι M καὶ] *om.* M λειμόνων *(*-μο- P*)* $V^{E}V^{O}$ P **13** παρέδραμεν *(*παρε- M*)* K M

## II[1]1544 / K cap. Ξ 2, 13

Καὶ μετ᾽ ὀλίγα·

*Ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα.* Οὐκ ἐπειδὴ καρίδος καὶ μαινίδος μείζονα, διατοῦτο μεγάλα εἴρηται, ἀλλ᾽ ἐπειδὴ τοῖς μεγίστοις ὄρεσι τῷ ὄγκῳ τοῦ σώματος παρεικάζονται, ἅ γε καὶ νήσων πολλάκις φαντασίαν παρέχεται, ἐπειδάν ποτε ἐπὶ τὴν ἄκραν ἐπιφάνειαν τοῦ ὕδατος ἀνανήξεται. Ἐὰν δὲ ἀκούσῃς ὅτι τὰ μέγιστα τῶν πλοίων, ἡπλωμένοις ἱστίοις ἐξουρίας φερόμενα, τὸ μικρὸν ἰχθύδιον, ἡ ἐχενηΐς, οὕτω ῥαδίως ἵστησιν, ὥστε ἀκίνητον ἐπὶ πλεῖστον φυλάττειν, ὥσπερ καταριζωθὲν ἐν αὐτῷ τῷ πελάγει, <***>.

## <II[1]suppl. 356 / V cap. Ξ 1, 12>

3 Gen. 1, 20 **11 II[1]suppl. 356 / V cap. Ξ 1, 12** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**3 – 7 II[1]1544** Ἐποίησεν – ἀνανήξεται] Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VII, 6 (ed. Mendieta†/Rudberg, p. 123, 17 – 124, 1) **7 – 10** Ἐὰν – πελάγει] Ibid. (p. 124, 4–6)

**2 – 10 II[1]1544** K cap. Ξ 2, 13 (210r[mg]11–21); V cap. Ξ 1, 11; P cap. Ξ 2, 11; M cap. Ξ 2, 10; L[c] cap. Ξ 1, 11; *deest in* H[I] L[b]; PG 96, 205, 33–42

**II[1]1544** (a) K (b) Τοῦ αὐτοῦ V[W] (c) *s. a.* V[O] P L[c] (d) *s. d.* V[E] M

**3** κήτη τὰ] *e corr.* V[W] **3 – 4** μαινίδος] *correxi (ed.)*, μίνιδος K V[E]V[O], μήνιδος *(*μη- P*)* V[W] PM **5** παρικάζονται V[E]V[O], παρϊσάζονται L[c], παρίσαζονται *(sic)* M, παρεισάζονται P, παρισάζεται *ed.* ἅ γε] ἅγε V[E]V[O], ἅτε PM V[W] L[c] νήσου M, νήσω V[W], νησσω P **6** φαντασΐαι πολλάκϊς L[c] **6 – 7** ἐπειδάν – ἀνανήξεται] *om.* V PM L[c] **7** ἀνανήξεται] *sic* K **8** ἡπλομένοις V[E]V[O], ἠπωμενοι P **9** ἰχθύδιον] *om.* PM V[W] L[c] ἡ] *om.* K ἐχὲνιεῖς V[E], εχενΐεῖς V[O], ἐχεννὶς *(*-ὶς *e corr.)* V[W], εχενης P, ἐχίνη M ἀκίνητα *(*-κι- P*)* L[c] PM **9 – 10** ἐπὶ πλεῖστον] ἐπιπλεῖστων V[E], -πλείστων V[O], ἐπὶ πλείω, *quae ante* ἀκίνητον *transpos.* M **10** φυλάττει M καταριζωθέντα P, καταρρϊζωθέντα L[c], κατηνωθέντα M πελάγει] *finis sententiae deest (cf. ed.)*, *add.* τότε θαυμάσης τοῦ δημιουργοῦ τὴν ἰσχύν V[E]V[O]

## II$^{1}$1545 / K cap. Ξ 2, 14

Φίλωνος, ἐκ τοῦ περὶ μέθης α′·

Τίς οὐκ οἶδεν ὅτι κριθαῖς μὲν ἔθνη τρέφεται μεγάλα, καθάπερ τὰ πολλὰ τῶν Λιβύην νεμομένων, ὀλύραις δὲ ἕτερα, καὶ τὸ πολυανθρωπότατον Ἰνδῶν ὀρύζῃ, οἳ καὶ κατακερτομοῦσι τῶν σίτῳ χρωμένων, ὡς ῥυπῶσαν καὶ δουλοπρεπῆ τροφὴν ἀντὶ λευκοῦ πυροῦ τῆς ἐλευθέροις ἁρμοττούσης προ<σ>φερομένων; Τίς δὲ οὐκ οἶδεν ὅτι ἐλαιουργεῖται μὲν σήσαμα, ἐλαιουργεῖται δὲ καὶ κνῆκος, καὶ πολλὰ τῶν ἄλλων, <ὧν> ἥκιστα ἄν τις προσεδόκησεν; Ἐπεὶ καὶ ἐν Αἰγύπτῳ φασὶ ταῖς πρὸς Αἰθιοπίαν Θήβαις ἐκ ῥεφανίδων οὐκ ὀλίγον ἀποστάζει<ν> καὶ πάλιν ἐκ τοῦ λεγομένου συνίστασθαι κροτῶνος. Ὁ δὲ κροτὼν ἔστι μὲν σπέρμα ζωῶδες, καὶ σχῆμα καὶ μέγεθος καὶ τὰ ἄλλα ἔοικεν <κροτῶνι>, ἀφ' οὗ καὶ τῆς ἐπωνυμίας ἔτυχεν· ὃ μάλιστα τοῖς κυσὶν ἐγγίνεται, καθάπερ φθεῖρες ἀνθρώποις. Καὶ ταῦτα πάντα τῆς πάντα θαυματουργούσης ἐν ἑκάστοις ἑκάστοτε θείας σοφίας ἔργα, ἡμῖν μὲν ξένα καὶ παράδοξα φαινόμενα, αὐτῇ δὲ ῥάδια καὶ δυνατά.

---

**3 – 17 II$^{1}$1545** PHILO IUDAEUS, *De ebrietate II*, Fr. 5 (ed. Wendland, p. 23); Royse 177.87

---

**2 – 17 II$^{1}$1545** K cap. Ξ 2, 14 (210r[21]22–210v17); *deest in* V H$^{I}$ PML$^{b}$ L$^{c}$

---

**II$^{1}$1545** α′] *sic* K

---

**3** κριθαῖς] *scrips. Wendland*, κρίθαις K **7** προσφερομένων] *correx. Wendland*, προφερομένων K **8** σήσαμα] *scrips. Wendland*, σίσαμα K$^{p.c.}$, σίσασμα K$^{a.c.}$ κνῆκος] *scrips. Wendland*, κνίκος K **9** ὧν] *supplevi*, *deest in* K **10** Αἰγύπτῳ] *scrips. Wendland*, αιγύπτωι K **10 – 11** ὀλίγον] *correx. Wendland*, ὀλίγων K **11** ἀποστάζειν] *correx. Wendland*, ἀποστάζει K **12** κροτὼν] *scripsi*, κροτῶν K **13** κροτῶνι] *supplevi*, *deest in* K τῆς ἐπωνυμίας] *correx. Wendland*, τὴν ἐπ' ὠνυμίαν K **14** ἀνθρώποις] *correx. Wendland*, ἀνθρώπου K **17** αὐτῇ] *scrips. Wendland*, αὐτὴ K

# Στοιχεῖον Ο

## Τίτλος α′ Περὶ ὀρφανῶν καὶ χηρῶν.

*II$^{2}$ / PML$^{b}$ cap. O 8

## β′ Περὶ ὀρφανῶν καὶ πτωχῶν καὶ χηρῶν.

### II$^{1}$1546 / K cap. O 1, 1

*II$^{2}$2111 / PML$^{b}$ cap. O 8, 1

Τῆς Ἐξόδου·

Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε· ἐὰν δὲ κακίᾳ κακώσητε αὐτούς, καὶ κράξαντες καταβοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς βοῆς αὐτῶν, καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς ἐν μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ τέκνα ὑμῶν ὀρφανά.

### II$^{1}$1547 / K cap. O 1, 2

Τῆς αὐτῆς·

Οὐκ ἐνεχυριάσεις ἱμάτιον χήρας.

---

**2** χηρῶν] cf. II$^{1}$ / K$^{pin}$ Παραπομπὴ X 2

---

**6 – 10 II$^{1}$1546** Ex. 22, 22–24 **13 II$^{1}$1547** Ex., re vera Deut. 24, 17 (Wahl, *Deuteronomium-Text*, p. 143)

---

**1 Stoicheion** K$^{txt}$ (210v17) K$^{pin}$ **2 Titlos (a)** K (210v17–18) **3 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **5 – 10 II$^{1}$1546** K cap. O 1, 1 (210v[18]19–211r1); V cap. O 2, 1; *deest in* H$^{I}$; PG 96, 208, 57 – 209, 4 **12 – 13 II$^{1}$1547** K cap. O 1, 2 (211r[1]2); V$^{E}$V$^{O}$ cap. O 2, 4; V$^{W}$ cap. O 2, 3; *deest in* H$^{I}$; PG 96, 209, 7

---

**3 Titlos (b)** β′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(*β′ *secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ καὶ πτωχῶν] *om.* V$^{E\ pin}$V$^{W}$V$^{O\ pin}$ χηρῶν] *add.* καὶ ὅτι χρὴ τούτους οἰκτείρειν *(*-ην V$^{E\ pin}$*)* V$^{E\ pin}$ V$^{O\ pin}$

---

**II$^{1}$1546** Τῆς] *om.* V **II$^{1}$1547** (a) K (b) *s. a.* V

---

**6** χῆραν K V$^{E\ a.\ c.}$ V$^{O}$ κακώσετε] κακώσητε K, κακώσεται V$^{E}$V$^{O}$ κακώσητε] κακώσεται V$^{E}$V$^{O}$ **7** ἀκοὴ V εἰσακούσομαι] *scripsi (**II$^{2}$*)*, εἰσακούσωμαι K, ἀκούσομαι V **8** ὀργισθήσωμαι K ἀποκτενῶι K ἐν] *e corr.* V$^{W}$ **9** ὑμῶν$^{1}$] ἡμῶν V$^{W}$ **10** ὀρφανᾶ V$^{E}$V$^{O}$

## II$^1$1548 / K cap. O 1, 3

Ἀπὸ τοῦ Ἰώβ·

Ὀρφανῷ ᾧ οὐκ ἦν βοηθός, ἐβοήθησα,
στόμα δὲ χήρας εὐλόγησέν με.

## II$^1$1549 / K cap. O 1, 4

Τοῦ αὐτοῦ·

Χήρας τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα.

## II$^1$1550 / K cap. O 1, 5

Δαυῒδ ἐν ψαλμῷ ξζʹ·

…ὁ πατὴρ τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν,
ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ…

---

**3 II$^1$1548** Ὀρφανῷ – ἐβοήθησα] Iob 29, 12$^2$ **4** στόμα – με] Ibid. 29, 13$^2$ **7 II$^1$1549** Iob 31, 16$^2$ **10 – 11 II$^1$1550** Ps. 67, 6$^{1-2}$

---

**2 – 4 II$^1$1548** K cap. O 1, 3 (211r[2]3–4); $V^E V^O$ cap. O 2, 3+2; $V^W$ cap. O 2, 4+2; P cap. O 8, 12; $Q^3$ cap. O 8, 12; $L^c$ cap. O 14, 12; *deest in* $H^I$; PG 96, 209, 5–6 **6 – 7 II$^1$1549** K cap. O 1, 4 (211r[4]5); *deest in* V $H^I$ **9 – 11 II$^1$1550** K cap. O 1, 5 (211r [5]6–7); V cap. O 2, 5; P cap. O 8, 13; $Q^3$ cap. O 8, 13; $L^c$ cap. O 14, 13; *deest in* $H^I$; PG 96, 209, 8–9

---

**II$^1$1548** (a) K $Q^3$ ϊώβ $Q^3$ (b) ϊώβ P $L^c$ (c) *s. a.* / Ἰώβ V *(cf. infra, app. crit. text.)* ἰώβ $V^E$ **II$^1$1550** (a) K (b) Ψαλμοῦ ξζʹ P $Q^3$ $L^c$ ψαλμὸς $L^c$ (c) Δαυῒδ $V^E V^O$ (d) *s. a.* $V^W$

---

**3** ᾧ] ὧ *s. l.* $Q^3$, ὃ $V^E V^O$ βοηθός] βοήθεια $Q^3$ $V^W$ $L^c$, βοηθηα P ἐβοήθησα] *hic caesura in* V **4** στόμα – με] *om.* P $Q^3$ $L^c$ δὲ] *om.* V **10** ὁ πατὴρ] τοῦ πατρὸς P $Q^3$ $L^c$ κριτῆς $V^E V^O$, κριτοῦ P $Q^3$ $L^c$ **11** ὁ – αὐτοῦ] *om.* V P $Q^3$ $L^c$

## II$^{1}$1551 / K cap. O 1, 6

Ἐν ψαλμῷ πα′·

Κρίνατε ὀρφανῷ καὶ πτωχῷ,
ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσασθε αὐτούς.

## <II$^{1}$suppl. 357 / PML$^{b}$ cap. O 8, 14>

## II$^{1}$1552 / K cap. O 1, 7

Ἐν ψαλμῷ ρμε′·

Ὀρφανὸν καὶ χήραν ἀναλήψεται.

## II$^{1}$1553 / K cap. O 1, 8

***II$^{2}$2112 / PML$^{b}$ cap. O 8, 2**

Τῶν Παροιμιῶν·

Εἰς κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς·
ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος κραταιός ἐστι,
καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ.

---

**5 II$^{1}$suppl. 357 / PML$^{b}$ cap. O 8, 14** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 II$^{1}$1551** Κρίνατε – πτωχῷ] Ps. 81, 3$^{1}$ **4** ἐκ – αὐτούς] Ibid. 81, 4$^{2}$ **8 II$^{1}$1552** Ps. 145, 9$^{2}$ **11 – 13 II$^{1}$1553** Prov. 23, 10$^{2}$–11$^{2}$ (Wahl, *Proverbien-Text*, p. 109)

---

**2 – 4 II$^{1}$1551** K cap. O 1, 6 (211r[7]8–9); *deest in* V H$^{I}$ **7 – 8 II$^{1}$1552** K cap. O 1, 7 (211r[9]10); *deest in* V H$^{I}$ **10 – 13 II$^{1}$1553** K cap. O 1, 8 (211r[10]11–13); V cap. O 2, 6; *deest in* H$^{I}$; PG 96, 209, 10–12

---

**II$^{1}$1553** (a) K V$^{E}$V$^{O}$ Τῶν] *om.* V$^{E}$V$^{O}$ (b) *s. a.* V$^{W}$

---

**13** καὶ] *om.* V$^{W}$ αὐτοῦ V$^{E}$V$^{O}$

***II$^{2}$2113 / PML$^{b}$ cap. O 8, 3**

## II$^{1}$1554 / K cap. O 1, 9

Τῶν αὐτῶν·

Ἀνθ’ ὧν ἠδίκουν νηπίους, φονευθήσονται.

## II$^{1}$1555 / K cap. O 1, 10

Ζαχαρίου προφήτου·

Χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύσητε.

***II$^{2}$2114 / PML$^{b}$ cap. O 8, 4**

## II$^{1}$1556 / K cap. O 1, 11

Ἀπὸ τοῦ Σιράχ·

Γίνου ὀρφανοῖς ὡς πατήρ,
καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν·
καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου.

---

**3 II$^{1}$1554** Prov. 1, 32$^{1}$ (Wahl, *Proverbien-Text*, p. 23–24) **6 – 7 II$^{1}$1555** Zach. 7, 10 (Wahl, *Prophetenzitate*, p. 258–259) **10 – 12 II$^{1}$1556** Sir. 4, 10$^{1-3}$ (Wahl, *Sirach-Text*, p. 54)

---

**2 – 3 II$^{1}$1554** K cap. O 1, 9 (211r[13]14); V cap. O 2, 7; *deest in* H$^{I}$; PG 96, 209, 13 **5 – 7 II$^{1}$1555** K cap. O 1, 10 (211r[14]15–16); V cap. O 2, 8; P cap. O 8, 15; Q$^{3}$ cap. O 8, 15; L$^{c}$ cap. O 14, 16; *deest in* H$^{I}$; PG 96, 209, 14–15 **9 – 12 II$^{1}$1556** K cap. O 1, 11 (211r[16]17–18); V cap. O 2, 9; *deest in* H$^{I}$; PG 96, 209, 16–17

---

**II$^{1}$1554** (a) K (b) Βαρούχ V$^{W}$ (c) *s. a.* V$^{E}$V$^{O}$ **II$^{1}$1555** (a) K P Q$^{3}$ (b) Ζαχαρίου V L$^{c}$ **II$^{1}$1556** (a) K (b) Σιράχ V

---

**6** μὴ] *om.* V$^{E}$V$^{O}$ **6 – 7** καταδυναστεύσηται V$^{W\ a.\ c.}$, -στεύεται V$^{E}$V$^{O}$ P, -στεύετε Q$^{3}$, -στεύητε L$^{c}$ **10** γενοῦ K$^{a.\ c.}$

## II$^1$1557 / K cap. O 1, 12

***II$^2$2115 / PML$^b$ cap. O 8, 5**

Τοῦ αὐτοῦ·

Δέησιν ἀδικουμένου εἰσακούσεται·
οὐ μὴ ὑπερίδῃ ἱκεσίαν ὀρφανοῦ
καὶ χήρας, ἐὰν ἐκχέῃ λαλιάν.

## II$^1$1558 / K cap. O 1, 13

***II$^2$2116 / PML$^b$ cap. O 8, 6**

Τοῦ αὐτοῦ·

Οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβήσεται,
καὶ ἡ κατάβασις αὐτῶν ἐπὶ τῷ καταγαγόντι αὐτά;

## II$^1$1559 / K cap. O 1, 14

***II$^2$2117 / PML$^b$ cap. O 8, 7**

Ἐκ τῆς πρὸς Τιμόθεον α′ ἐπιστολῆς·

Χήρας τίμα τὰς ὄντως χήρας. Εἰ δέ τις χήρα ἢ τέκνα ἢ ἔγγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ θεόν, καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας, ἡ

---

**3 – 5 II$^1$1557** Sir. 32, 16$^2$–17$^2$ (Wahl, *Sirach-Text*, p. 136) **8 – 9 II$^1$1558** Sir. 32, 18–19 (Wahl, *Sirach-Text*, p. 136–137) **12 – 866, 2 II$^1$1559** I Tim. 5, 3–7

---

**2 – 5 II$^1$1557** K cap. O 1, 12 (211r[18]19–21); V cap. O 2, 10; *deest in* H$^I$; PG 96, 209, 18–19 **7 – 9 II$^1$1558** K cap. O 1, 13 (211r[21]22–23); V cap. O 2, 11; *deest in* H$^I$; PG 96, 209, 19–21 **11 – 866, 2 II$^1$1559** K cap. O 1, 14 (211r[24]211v1–9); V$^E$V$^O$ cap. O 2, 12; V$^W$ cap. O 2, 12–13; *deest in* H$^I$; PG 96, 209, 22–30

---

**II$^1$1557** (a) K V$^W$ (b) *s. a.* V$^E$V$^O$ **II$^1$1558** (a) K (b) *s. a.* V **II$^1$1559** (a) K (b) Πρὸς Τιμόθεον V$^E$V$^O$ (c) Ἀποστόλου / Πρὸς Τιμόθεον V$^W$ *(cf. infra, app. crit. text.)*

---

**4** ὑπερίδῃ] *scripsi (*II$^2$)*, ὑπερίδει K, παρίδῃ V **9** κατάβασις] καταβόησις *LXX* αὐτῶν] *om.* V$^E$V$^W$ *(in mg. supplev. man. rec.)* V$^O$ καταγαγόντι] κατάγοντι V$^W$V$^O$ **12** τῖμας V$^O$ ὄντας V ἔκγονα V$^W$ **12 – 13** ἔχειν V$^O$ **14** ἀπόδεκτον] ἀποδεκτὸν V$^{W\ p.\ c.}$, ἀπόδεκτὸν K **15** θεοῦ] *hic caesura in* V$^W$ δὲ ὄντως] ὄντως V$^{W\ p.\ ras.}$, δεόντως V$^E$V$^O$ ἤλπισεν *(sic)* V$^W$ θεόν] κύριον K V$^E$

δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν.

*II$^2$2118 / PML$^b$ cap. O 8, 8

## II$^1$1560 / K cap. O 1, 15

Καὶ μετ᾽ ὀλίγα·

Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.

## II$^1$1561 / K cap. O 1, 16

Ἐκ τῆς αὐτῆς·

Εἴ τις πιστὴ ἔχει χήρας, ἐπαρκείσθω αὐτα<ῖ>ς, καὶ μὴ βαρείσθω <ἡ> ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

---

**5–9 II$^1$1560** I Tim. 5, 11–13 **12–13 II$^1$1561** I Tim. 5, 16

---

**4–9 II$^1$1560** K cap. O 1, 15 (211v[9]9–14); $V^EV^O$ cap. O 2, 13; $V^W$ cap. O 2, 14; *deest in* $H^I$; PG 96, 209, 31–36 **11–13 II$^1$1561** K cap. O 1, 16 (211v[14]15–17); *deest in* V $H^I$

---

**II$^1$1560** (a) K (b) Τοῦ αὐτοῦ $V^W$ (c) *s. a.* $V^EV^O$

---

**1** τέθηκεν $V^O$ παράγγελε $V^EV^O$ **5** χῆρας K καταστρινιάσωσι V **6** ἐθέλουσιν $V^W$ κρῖμα K **8** δὲ] *om.* $V^EV^O$ **12** αὐταῖς] *scripsi (NT)*, αὐτὰς K **13** ἡ] *supplevi (NT), om.* K ἐπαρκέσῃ] *scripsi (NT)*, ἐπαρκήσηι K

## II$^{1}$1562 / K cap. O 1, 17

***II$^{2}$2120 / PML$^{b}$ cap. O 8, 10**

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς [Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ η′ λόγου τῆς Ἑξαημέρου]·

Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρί, αὕτη ἐστίν, ἐπισκέπτεσθαι χήρας καὶ ὀρφανοὺς ἐν τῇ θλίψει αὐτῶν.

## II$^{1}$1563 / K cap. O 1, 18

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ η′ λόγου τῆς Ἑξαημέρου·

Τὴν τρυγόνα φασὶν διαζευχθεῖσαν ποτὲ τοῦ ὁμόζυγος μηκέτι τὴν πρὸς ἕτερον καταδέχεσθαι κοινωνίαν, ἀλλὰ μένειν ἀσυνδύαστον, μνήμῃ τοῦ ποτὲ συζευχθέντος τὴν πρὸς ἕτερον κοινωνίαν ἀπαρνουμένην. Ἀκουέτωσαν αἱ γυναῖκες ὅπως τὸ σεμνὸν τῆς χηρείας καὶ παρὰ τοῖς ἀλόγοις τοῦ ἐν ταῖς πολυγαμίαις ἀπρεποῦς προτιμότερον.

---

**4 – 5 II$^{1}$1562** Iac. 1, 27  **8 – 13 II$^{1}$1563** BASILIUS CAESARIENSIS, *Homiliae in Hexaemeron*, VIII, 6 (ed. Mendieta†/Rudberg, p. 138, 6–10)

---

**2 – 5 II$^{1}$1562** K cap. O 1, 17 (211v[17]19–21/211v[18]); V$^{E}$V$^{O}$ cap. O 2, 14; V$^{W}$ cap. O 2, 15; *deest in* H$^{I}$; PG 96, 209, 37–39  **7 – 13 II$^{1}$1563** K cap. O 1, 18 (211v[21]22–212r5); V$^{E}$V$^{O}$ cap. O 2, 15; V$^{W}$ cap. O 2, 16; *deest in* H$^{I}$; PG 96, 209, 40–46

---

**II$^{1}$1562** (a) K  Τοῦ – Ἑξαημέρου] *delevi (loci sequentis lemma hic inepte insertum videtur)* (b) Ἰακώβου V$^{W}$ (c) Ἐκ τῆς Ἰωάννου V$^{E}$V$^{O}$ **II$^{1}$1563** (a) K *(cf. lemma loci praecedentis)* (b) Βασιλείου V βασιλίου V$^{W}$

---

**4** τῷ] *om.* K V$^{W}$  **5** χῆρας K  αὐτοῦ V$^{O}$  **8** διεζευχθεῖσαν V$^{O}$, διαζευχθῆναν V$^{W\,a.\,c.}$, διαζευχθῆσαν V$^{W\,p.\,c.}$  ὁμοζύγου V$^{W}$  **10** μνήμῃ] μήτε V$^{W}$  **10 – 11** ἀπαρνουμένη K  **11** σεμνότερον V$^{W\,p.\,c.}$, σεμνώτερον V$^{W\,a.\,c.}$  χηρείας] χηρίας K V$^{E}$V$^{W\,a.\,c.}$V$^{O}$  **12** τοῖς] *add.* ἄλλοις V$^{E}$  ἀπρεποὺς V$^{E}$V$^{O}$  **12 – 13** προτιμώτερον V$^{W}$V$^{O}$

## II$^{1}$1564 / K cap. O 1, 19

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τῶν Ἐπῶν·

| | |
|---|---|
| Πυνθάνομ’ | Ἀκούω |
| ὡς πτερόεσσα | ὡς ἡ πτερωτὸς |
| τρυγών, | τρυγών, |
| τρυγόνος φιλίοιο | τοῦ τρυγόνος τοῦ φίλου |
| Χηρωθεῖσ’, | χηρεύσασα, |
| ὁμόλεκτρον | τὸν κοινωνὸν καὶ σύγκλινον |
| ἑὸν ποθέουσα | τὸν ἴδιον ἐπιποθοῦσα |
| σαόφρων, | ἡ σώφρων, |
| Οὐ δέχεται πόσιν | οὐ δέχεται ἄνδρα |
| ἄλλον ἑῆς | ἕτερον τῆς ἰδίας |
| καθύπερθε | ἐπάνωθεν |
| καλιῆς. | καλιᾶς. |
| Ὄρνι σοφή· | Ἡ ὄρνις ἡ σοφή· |
| μερόπεσσι | ἀνθρώποις δὲ |
| δ’ ἁγνὸς βίος, | καθαρὸς βίος, |
| ὅσσον ἀρείων. | ὅσῳ κρείττων. |
| Οὐδὲ μὲν οὐ λακέρυζα | Ἀλλ’ οὐδὲ ἡ κράκτρια |
| μελάγχροος, | ἡ μελανή, |
| ἀλλὰ καὶ αὐτὴ | ἀλλὰ καὶ αὐτὴ |
| Ζώει κουριδίοιο | ἐν ζωῇ τοῦ ἐκ παρθενίας |
| πόθου τμηθεῖσα | πόθου ἀνδρὸς [οὐ] στερηθεῖσα |
| κορώνη, | κορώνη, |
| Πάντα πόσιν | πάντα γὰρ ἄνδρα |
| στυγέουσα, | μισοῦσα, |

**3 – 869, 2 II$^{1}$1564** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 536–542 (PG 37, 620, 13 – 621, 5)

**2 – 869, 2 II$^{1}$1564** K cap. O 1, 19 (212r[5]6–212v7); *deest in* V H$^{I}$

7 Χηρωθεῖσ’] *scripsi (ed.)*, χηρωσθεῖσ’ K **11** πόσιν] *scripsi (ed.)*, ποσὶν K **15** ἡ] *s. l.* K **22** Ζώει] *correxi (ed.)*, ζωῆι K κουριδίοιο] *scripsi (ed.)*, κουρδίοις *(sic)* K ἐκ παρθενίας] *vide adnotationem ad v. 541 (PG 37, 621)* **23** πόθου$^{1}$] *correxi (ed.)*, πόπου K οὐ] *delevi* **25** πόσιν] *scripsi (ed.)*, ποσὶν K

ἐπὴν φίλον
ὄρνιν ὀλέσῃ.

ἐπειδὰν φίλον
ὄρνιν ἀπολέσῃ.

## II[1]1565 / K cap. O 1, 20

*II[2]2121 / PML[b] cap. O 8, 11

Φίλωνος, ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Οὐδένα μὲν οὐδὲ τῶν ἄλλων, οὔτε ἄρρενα οὔτε θήλειαν, ἀφίησιν ἀδικεῖν ὁ νόμος· ἐξαιρέτου δὲ προνοίας μεταδίδωσι χήραις καὶ ὀρφανοῖς, ἐπειδὴ τοὺς ἀναγκαίους βοηθοὺς καὶ κηδεμόνας ἀφαιροῦνται, χῆραι μὲν ἄνδρας, ὀρφανοὶ δὲ γονεῖς.

---

**5 – 7** cf. Ex. 22, 21–22

---

**5 – 8 II[1]1565** PHILO IUDAEUS, *Quaestiones in Exodum*, II. 3a (ed. Petit, p. 240)

---

**4 – 8 II[1]1565** K cap. O 1, 20 (212v[8]9–13); *deest in* V H[I]; PG 86, 2085, 55 – 2088, 4

*II$^2$ / L$^c$ cap. O 13

## Τίτλος β′ Περὶ ὁρίων, ὅτι οὐ χρὴ ταῦτα μετάγειν.

## γ′ Περὶ ὁρίων, ὅτι οὐ χρὴ μετάγειν αὐτά.

*II$^2$2094 / L$^c$ cap. O 13, 1

### II$^1$1566 / K cap. O 2, 1

Τοῦ Δευτερονομίου·

Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον σου, ἃ ἔστησαν οἱ πατέρες σου.

*II$^2$2095 / L$^c$ cap. O 13, 2

### II$^1$1567 / K cap. O 2, 2

Τοῦ αὐτοῦ·

Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. Καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.

*II$^2$2097 / L$^c$ cap. O 13, 4

### II$^1$1568 / K cap. O 2, 3

Ἀπὸ τοῦ Ἰώβ·

Ἀσεβεῖς ὅριον ὑπερέβησαν.

---

**5 – 6 II$^1$1566** Deut. 19, 14 (Wahl, *Deuteronomium-Text*, p. 133) **9 – 10 II$^1$1567** Deut. 27, 17 (Wahl, *Deuteronomium-Text*, p. 144) **13 II$^1$1568** Iob 24, 2$^1$

---

**1 Titlos (a)** K (212v13–14) **2 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **4 – 6 II$^1$1566** K cap. O 2, 1 (212v[14]15–16); V cap. O 3, 1; *deest in* H$^I$; PG 96, 209, 49–50 **8 – 10 II$^1$1567** K cap. O 2, 2 (212v[16]17–18); V cap. O 3, 2; *deest in* H$^I$; PG 96, 209, 51–52 **12 – 13 II$^1$1568** K cap. O 2, 3 (212v[18]19); V cap. O 3, 3; *deest in* H$^I$; PG 96, 209, 53

---

**1 Titlos (a)** ὅτι] *praem.* καὶ K$^{pin}$ **2 Titlos (b)** γ′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(γ′ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ ὁρίων – αὐτά] ὁροθεσίων, καὶ ὅτι ὁ *(sic)* χρὴ ταῦτα μετακινεῖν V$^{W\ txt}$ μετάγειν αὐτά] αὐτὰ μετάγειν ἢ σαλεύειν V$^{E\ pin}$ V$^{O\ pin}$, ταῦτα μετάγειν V$^{W\ pin}$

---

**II$^1$1566** Τοῦ] *om.* V **II$^1$1567** (a) K (b) *s. a.* V **II$^1$1568** (a) K (b) Ἰώβ V$^E$V$^O$ (c) *s. a.* V$^W$

---

**13** ὅρια V$^W$

## II$^1$1569 / K cap. O 2, 4

*II$^2$2098 / L$^c$ cap. O 13, 5

Τῶν Παροιμιῶν·

Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.

## II$^1$1570 / K cap. O 2, 5

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ ζʹ λόγου τῆς Ἑξαημέρου·

Ἔστι τινὰ τῶν ἰχθύων ἃ καὶ μιμεῖσθαι ἄξιον, πῶς τὰ γένη αὐτῶν, ἕκαστα τὴν ἐπιτηδείαν αὐτοῖς διανειμάμενα χώραν, οὐκ ἐπεμβαίνει ἀλλήλοις, ἀλλὰ τοῖς οἰκείοις ὅροις ἐνδιατρίβει. Οὐδεὶς γεωμέτρης παρ᾽ αὐτοῖς κατένειμεν τὰς οἰκήσεις· οὐ τείχεσι περιγέγραπται, οὐχ᾽ ὁροθεσίοις διώρισται· αὐτομάτως ἑκάστῳ τὸ χρήσιμον ἀποτέτακται. Οὗτος μὲν γὰρ ὁ κόλπος τάδε τὰ γένη τῶν ἰχθύων βόσκει, κἀκεῖνος ἕτερα, καὶ τὰ ὧδε πληθύνοντα, ἄπορα παρ᾽ ἑτέροις. Οὐδὲν ὄρος ὀξείαις κορυφαῖς ἀνατεταμένον διΐστησιν, οὐ ποταμὸς τὴν διάβασιν ἀποτέμνεται, ἀλλὰ νόμος τίς ἐστι φύσεως, ἴσως καὶ δικαίως κατὰ τὸ ἑκάστου χρειῶδες τὴν δίαιταν πᾶσιν ἀποπληρῶν. Ἀλλ᾽ οὐχ᾽ ἡμεῖς τοιοῦτοι, ὁπότε *μεταίρομεν ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες ἡμῶν*. Παρατεμνόμεθα γῆν, *συνά-*

---

**16 – 17** Prov. 22, 28 **17 – 872, 2** συνάπτομεν – τί] Is. 5, 8

---

**3 II$^1$1569** Prov. 22, 28 (Wahl, *Proverbien-Text*, p. 107) **6 – 872, 3 II$^1$1570** Ἔστι – θάλασσαν] Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VII, 3–4 (ed. Mendieta†/Rudberg, p. 118, 19 – 119, 12)

---

**2 – 3 II$^1$1569** K cap. O 2, 4 (212v[19]20); V$^E$V$^O$ cap. O 3, 4; V$^W$ cap. O 3, 5; *deest in* H$^I$; PG 96, 212, 1–2 **5 – 872, 8 II$^1$1570** K cap. O 2, 5 (212v[21]22–213r24); V$^E$V$^O$ cap. O 3, 5; V$^W$ cap. O 3, 6; *deest in* H$^I$; PG 96, 212, 3–27

---

**II$^1$1569** (a) K (b) *s. a.* V **II$^1$1570** (a) K (b) Βασιλείου V βασιλίου V$^W$

---

**3** μέταιρε] *scripsi*, μέτερε K V αἰώνια] *om.* V$^W$ ἔθετο V$^O$ **6** Ἔστι] εἰσὶ *e corr.* V$^W$ γένη] *om.* V$^W$ **7** ἕκαστα] ἑκάστω V$^W$ τὴν] *om.* K **8 – 9** γεομέτρης V$^W$, γεωμέτρος V$^O$ **9** κατανέμει V$^W$ **10** οὐκοροθεσίοις V$^E$V$^O$, οὐχώροθεσίοις *e corr.* V$^W$ **10 – 11** αὐτομάτως – ἀποτέτακται] *om.* V$^E$V$^O$ **11** γένει V$^E$V$^{O\ e\ corr.}$ **12** βόσκειν V$^O$ **13** ἕτέροι *(sic)* V$^O$ οὐδὲ ἓν ὅρος V$^W$V$^O$, οὐδὲ ἓν ὅρος V$^E$ ἀναπετάμενον K **15** φύσεων K ἴσος V$^W$ δίκαιως V$^E$, δίκαιος V$^W$ **16** πᾶσιν] *om.* V$^W$ ἀποπληρῶν] ἀπονέμων V$^W$ μεταίρομεν] *scripsi (ed.)*, μετέρομεν K$^{a.\ c.}$ V, μετέρωμεν K$^{p.\ c.\ in\ mg.}$ **17** παρατεμνώμεθα V$^W$, -τέμνωμεν V$^E$V$^O$ **17 – 872, 1** συνάπτωμεν V$^W$

*πτομεν οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρόν, ἵνα τοῦ πλησίον ἀφελώμεθα τί.* Οἶδε τὰ κήτη τὴν ἀφωρισμένην παρὰ τῆς φύσεως δίαιταν, τὴν ἔξω τῶν οἰκουμένων ὅρων κατείληφεν θάλασσαν, τοῖς μεγίστοις τῶν ὀρέων κατὰ τὸ μέγεθος ἐοικότα, ὡς οἱ τεθεαμένοι φασί, καὶ μένουσιν ἐν τοῖς οἰκείοις ὅροις, μήτε ταῖς νήσοις μήτε ταῖς παραλίοις χώραις λυμαινόμενα. Οὕτω μὲν οὖν ἕκαστον γένος, ὥσπερ πόλεσιν ἢ κώμαις τισὶν ἢ πατρίσιν ἀρχαίαις, τοῖς ἀποτεταγμένοις αὐτοῖς τῆς θαλάσσης μέρεσιν αὐλίζεται.

**4 – 8** τοῖς – αὐλίζεται] Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VII, 4 (ed. Mendieta†/Rudberg, p. 119, 15–19)

**1** καὶ – ἀγρόν] *om.* $V^{E}V^{O}$ **2** ἀφορισμένην $V^{E}V^{O}$, ἠφορισμένην K **3** κατείληφα $V^{E\text{ a. c. ut videtur}}$, κατείλῆφθαι *(sic)* $V^{E\text{ p. c.}}$ $V^{O}$, κατηλεῖφθαι $V^{W}$ **5** τὰς νήσους K **6** ταῖς] τὰς K $V^{O}$ παράλοις $V^{W}$, παραλίας K χώρῆσι *(sic)* $V^{W}$, χώρας K λοιμαινόμενα $V^{E}V^{O}$, λυμενόμενα $V^{W\text{ a. c.}}$ **7** ἀρχαίοις $V^{O}$ **8** αὐλίζεται] αὐλίζονται K, *an legendum* ἐναυλίζεται *(ed.)?*

**Τίτλος <γ′> Περὶ ὁδοῦ ἀγαθῆς καὶ πονηρᾶς, καὶ ὅτι χρὴ <τὰ σκολιὰ πράγματα καὶ> τὰς σκολιὰς ὁδοὺς ἐκκλίνειν, καὶ μετὰ τῆς εὐθείας πορεύεσθαι.** ***II$^2$ / R cap. O 3 et O 4**

**δ′ Περὶ ὁδοῦ ἀγαθῆς καὶ πονηρᾶς, καὶ ὅτι χρὴ τὰ σκολιὰ πράγματα καὶ τὰς σκολιὰς ὁδοὺς ἐκκλίνειν, καὶ μετὰ τῆς εὐθείας πορεύεσθαι.**

### <II$^1$suppl. 358 / V cap. O 4, 1>

### II$^1$1571 / K cap. O 3, 1

Ἀπὸ τοῦ Ἰώβ·

Οἱ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ βροτῶν.

---

**1 – 2** ὅτι – ἐκκλίνειν] cf. II$^1$ / K$^{pin}$ Παραπομπαὶ Π 12 et X 8 **2** σκολιὰ πράγματα] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Σ 5 **7 II$^1$suppl. 358 / V cap. O 4, 1** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**10 II$^1$1571** Iob 28, 4$^2$

---

**1 – 3 Titlos (a)** K (213v1–3) **4 – 6 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **9 – 10 II$^1$1571** K cap. O 3, 1 (213v[3]4–5); V cap. O 4, 2; P cap. O 3, 10; L$^c$ cap. O 1, 10; *deest in* H$^I$; PG 96, 212, 35–36

---

**1 – 3 Titlos (a)** **1** Τίτλος] *om.* K$^{pin}$ γ′] *supplevi*, *om.* K **1 – 2** τὰ – καὶ$^1$] *supplevi e* K$^{pin}$, *om.* K$^{txt}$ **4 – 6 Titlos (b)** **4** δ′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(δ′ secund. ser.), om.* V$^{O\ txt}$ *(δ′ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ χρὴ] *praem.* οὐ V$^{O\ pin}$ **5 – 6** μετὰ – εὐθείας] τῇ εὐθείᾳ V$^{E\ pin}$ V$^{O\ pin}$ **6** πορεύεσθαι] *add.* καὶ ἀγαθῇ καὶ δικαίᾳ ὁδῷ V$^{E\ pin}$ V$^{O\ pin}$

---

**II$^1$1571** (a) K (b) Ἰώβ P L$^c$ ϊώβ P L$^c$ (c) *s. a.* V

---

**10** Οἱ] *om.* L$^c$ δικαίων L$^c$ βρωτῶν V

## II$^1$1572 / K cap. O 3, 2

Τῶν Παροιμιῶν·

Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια·
δεκταὶ δὲ παρὰ θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.

## II$^1$1573 / K cap. O 3, 3

Τῶν αὐτῶν·

Ὁδοὺς τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός,
διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν.

## II$^1$1574 / K cap. O 3, 4

Τῶν αὐτῶν·

Ὁ φυλάσσων τὰς ἑαυτοῦ ὁδοὺς τηρεῖ τὴν ἑαυτοῦ ψυχήν.

## II$^1$1575 / K cap. O 3, 5

Τῶν αὐτῶν·

Ἀσεβὴς ἐκκλίνει ὁδοὺς δικαιοσύνης.

---

**3 – 4 II$^1$1572** Prov. 16, 7$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 80) **7 – 8 II$^1$1573** Prov. 4, 27a$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 34) **11 II$^1$1574** Prov. 16, 17$^3$ (Wahl, *Proverbien-Text*, p. 82) **14 II$^1$1575** Prov. 17, 23$^2$ (Wahl, *Proverbien-Text*, p. 89)

---

**2 – 4 II$^1$1572** K cap. O 3, 2 (213v[5]6–7); V cap. O 4, 3; P cap. O 3, 11; L$^c$ cap. O 1, 11; *deest in* H$^I$; PG 96, 212, 37–38 **6 – 8 II$^1$1573** K cap. O 3, 3 (213v[7]8–9); V cap. O 4, 4; *deest in* H$^I$; PG 96, 212, 39–40 **10 – 11 II$^1$1574** K cap. O 3, 4 (213v[9]10–11); *deest in* V H$^I$ **13 – 14 II$^1$1575** K cap. O 3, 5 (213v[11]12); *deest in* V H$^I$

---

**II$^1$1572** Τῶν] *om.* V P L$^c$ **II$^1$1573** (a) K (b) *s. a.* V

---

**3** τὸ] *om.* V P L$^c$ τὰ] *om.* P L$^c$ **4** δεκτὴ L$^c$ δὲ] *om.* K θυσιῶν αἷμα] θύειν θυσίας *LXX (sed cf. Prov. 21, 3$^2$)* **7** θεός] κύριος V

## II¹1576 / K cap. O 3, 6

Τῶν αὐτῶν·

Ὁ σκολιάζων τὰς ὁδοὺς αὐτοῦ ἀτιμασθήσεται.

## II¹1577 / K cap. O 3, 7

Τῶν αὐτῶν·

Πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θεός.

## II¹1578 / K cap. O 3, 8

***II²2084 / R cap. O 4, 3**

Τῶν αὐτῶν·

Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς,
ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν ἀφέξεται ἀπ’ αὐτῶν.

## <II¹suppl. 359 / V cap. O 4, 8>

**11 II¹suppl. 359 / V cap. O 4, 8** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**3 II¹1576** Prov. 14, 2² (Wahl, *Proverbien-Text*, p. 70) **6 II¹1577** Prov. 21, 8¹ (Wahl, *Proverbien-Text*, p. 100–101) **9 – 10 II¹1578** Prov. 22, 5¹⁻² (Wahl, *Proverbien-Text*, p. 104)

**2 – 3 II¹1576** K cap. O 3, 6 (213v[12]13); V cap. O 4, 5; P cap. O 4, 3; Lᶜ cap. O 2, 4; *deest in* Hᴵ; PG 96, 212, 42–43 **5 – 6 II¹1577** K cap. O 3, 7 (213v[13]14); V cap. O 4, 6; P cap. O 4, 4; Lᶜ cap. O 2, 5; *deest in* Hᴵ; PG 96, 212, 43–44 **8 – 10 II¹1578** K cap. O 3, 8 (213v[14]15–16); V cap. O 4, 7; *deest in* Hᴵ; PG 96, 212, 45–47

**II¹1576** (a) K (b) *s. a.* V P Lᶜ **II¹1577** (a) K (b) *s. a.* V P Lᶜ **II¹1578** (a) K (b) *s. a.* V

**3** ασκωλϊάζων *(sic)* Lᶜ ταῖς ὁδοῖς Lᶜ **6** σκολιὰς] *praem.* καὶ Lᶜ ἀποστελεῖ V
**9** τρίβολος VᴱVᴼ παγίδαις K^p. c. ut videtur^ VᴱVᴼ

***II$^{2}$2076 / R cap. O 3, 4**

## II$^{1}$1579 / K cap. O 3, 9

Τῶν αὐτῶν·

Αἱ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν,
προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα.

***II$^{2}$2086 / R cap. O 4, 5**

## II$^{1}$1580 / K cap. O 3, 10

Τῶν αὐτῶν·

Ἔστιν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις,
τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα Ἅδου.

## II$^{1}$1581 / K cap. O 3, 11

Τῶν αὐτῶν·

Εἰ ἐπορεύοντο τρίβους ἀγαθάς,
εὕροσαν ἂν τρίβους δικαιοσύνης λείους.

---

**7 – 8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 62.3./69.3. (ed. Ihm, p. 925)

---

**3 – 4 II$^{1}$1579** Prov. 4, 18$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 33) **7 – 8 II$^{1}$1580** Prov. 14, 12$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 71) **11 – 12 II$^{1}$1581** Prov. 2, 20$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 25–26)

---

**2 – 4 II$^{1}$1579** K cap. O 3, 9 (213v[mg]17–19); V cap. O 4, 9; *deest in* H$^{I}$; PG 96, 212, 49–51 **6 – 8 II$^{1}$1580** K cap. O 3, 10 (213v[19]20–21); V cap. O 4, 10; P cap. O 3, 13; L$^{c}$ cap. O 1, 13; *deest in* H$^{I}$; PG 96, 212, 52–53 **10 – 12 II$^{1}$1581** K cap. O 3, 11 (213v[21]22–23); V cap. O 4, 11; P cap. O 3, 14; L$^{c}$ cap. O 1, 14; *deest in* H$^{I}$; PG 96, 213, 1–2

---

**II$^{1}$1579** (a) K (b) *s. a.* V$^{W}$ (c) *s. d.* V$^{E}$V$^{O}$ **II$^{1}$1580** (a) K P (b) *s. a.* V L$^{c}$ **II$^{1}$1581** (a) K V$^{W}$ P (b) *s. a.* V$^{E}$V$^{O}$ L$^{c}$

---

**4** κατορθώσει V$^{E}$V$^{O}$ **7** ἣ] ἡ P, ἦ V$^{E}$V$^{O}$, ἢ V$^{W}$ ὀρθὴ] *post* ἀνθρώποις *transpos.* L$^{c}$ εἶναι] *om.* K **8** ἅδου V$^{E}$ **11** Εἰ] *rubricatoris vitio deest in* L$^{c}$ **12** εὕρωσαν V$^{W}$V$^{O}$, εὐρωσαν V$^{E}$ δικαιοσύνης] τὰς τῶν δικαίων V$^{E}$V$^{O}$ λίους V, λεῖας K, λείας L$^{c}$

## II[1]1582 / K cap. O 3, 12

Τῶν αὐτῶν·

Τρίβοι ζωῆς ἐκκλίνουσιν ἀπὸ κακῶν.

## II[1]1583 / K cap. O 3, 13

*II[2]2083 / R cap. O 4, 2

Τῶν αὐτῶν·

Εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρός,
καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέψαι ἀπ᾽ αὐτῶν·
ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς.

## II[1]1584 / K cap. O 3, 14

Τῶν αὐτῶν·

Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσίν,
μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ μὴ δὲ εἰς τὰ ἀριστερά,
ἀπόστρεψον σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς.

---

**3 II[1]1582** Prov. 16, 17[1] (Wahl, *Proverbien-Text*, p. 82) **6 – 8 II[1]1583** Prov. 22, 14a[1–3] (Wahl, *Proverbien-Text*, p. 106) **11 II[1]1584** Ὀρθὰς – ποσίν] Prov. 4, 26[1] (Wahl, *Proverbien-Text*, p. 34) **12 – 13** μὴ – κακῆς] Ibid. 4, 27[1–2] (Wahl, p. 34)

---

**2 – 3 II[1]1582** K cap. O 3, 12 (213v[23]24); V cap. O 4, 12; P cap. O 3, 15; L[c] cap. O 1, 15; *deest in* H[I]; PG 96, 213, 3 **5 – 8 II[1]1583** K cap. O 3, 13 (213v[24]214r1–3); *deest in* V H[I] **10 – 13 II[1]1584** K cap. O 3, 14 (214r[3]4–6); V cap. O 4, 13; P cap. O 3, 16; L[c] cap. O 1, 16; *deest in* H[I]; PG 96, 213, 4–5

---

**II[1]1582** (a) K V[W] P (b) *s. a.* V[E]V[O] L[c] **II[1]1584** (a) K (b) *s. a.* V P (c) *s. d.* L[c]

---

**3** ἐκκλίνουσιν] ἐκκαινουσιν P **12** ἐκκληιης P τὰ[2]] *om.* V[W] **13** ἀπόστρεψον – κακῆς] *om.* V[E]V[O] L[c]

## II$^{1}$1585 / K cap. O 3, 15

Τῶν αὐτῶν·

Ὢ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας,
τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους,
οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς
καὶ χαίροντες ἐπὶ δια<στροφῇ> κακῇ,
ὧν αἱ τρίβοι σκολιαὶ
καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν,
τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας
καὶ ἀλλότριον τῆς δικαίας γνώμης.

***II$^{2}$2081 / R cap. O 3, 9**

## II$^{1}$1586 / K cap. O 3, 16

Ἱερεμίου προφήτου·

Τάδε λέγει κύριος· Στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε, καὶ ἐρωτήσατε ὁδοὺς κυρίου, καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ.

## <II$^{1}$suppl. 360 / V cap. O 4, 15>

**16 II$^{1}$suppl. 360 / V cap. O 4, 15** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**3 – 10 II$^{1}$1585** Prov. 2, 13$^{1}$–16$^{2}$ (Wahl, *Proverbien-Text*, p. 25) **13 – 15 II$^{1}$1586** Ier. 6, 16 (Wahl, *Prophetenzitate*, p. 503–504)

**2 – 10 II$^{1}$1585** K cap. O 3, 15 (214r[6]7–8); V$^{W}$ cap. O 4, 14; L$^{c}$ cap. O 2, 13; *deest in* V$^{E}$V$^{O}$ H$^{I}$ **12 – 15 II$^{1}$1586** K cap. O 3, 16 (214r[8]9–11); V$^{E}$V$^{O}$ cap. O 4, 14; V$^{W}$ cap. O 4, 15; *deest in* H$^{I}$; PG 96, 213, 6–8

**II$^{1}$1585** (a) K (b) *s. a.* V$^{W}$ **II$^{1}$1586** (a) K (b) Ἱερεμίου V

**3** Ὢ] ὦ V$^{W}$, *rubricatoris vitio deest in* L$^{c}$ ἐγκαταλείποντες V$^{W}$ **4** πορεύεσθαι V$^{W}$ **5 – 10** οἱ – γνώμης] *om.* K V$^{W}$ **5** κακοῖς] *scripsi (LXX et* *II$^{2}$962 / T cap. Δ 17, 10*)*, καιροῖς L$^{c}$ **6** διαστροφῇ] *scripsi (**II$^{2}$962 / T cap. Δ 17, 10 *et LXX)*, δῖα ἡ *(*ἡ *manu rubricatoris)* L$^{c}$ **9** μακράν σε] *scripsi (LXX et* *II$^{2}$962 / T cap. Δ 17, 10*)*, μακάριόν σε L$^{c}$ **10** ἀλλότριον] *scripsi (LXX et* *II$^{2}$962 / T cap. Δ 17, 10*)*, ἀλλοτρίαν L$^{c}$ **13 – 14** καὶ$^{2}$ – ἴδετε] *om.* V$^{W}$ **14** εἴδετε K **14 – 15** καὶ$^{2}$ – αὐτῇ] *om.* V$^{W}$

## II$^{1}$1587 / K cap. O 3, 17

Σοφία Σολομῶντος·

Μὴ ἐπισπᾶσθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν.

## II$^{1}$1588 / K cap. O 3, 18 *II$^{2}$2087 / R cap. O 4, 6

Ἀπὸ τοῦ Σιράχ·

Μὴ λίκμα ἐν παντὶ ἀνέμῳ,
καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ.

## <II$^{1}$suppl. 361 / V cap. O 4, 18>

## II$^{1}$1589 / K cap. O 3, 19 *II$^{2}$2088 / R cap. O 4, 7

Τοῦ αὐτοῦ·

Οὐαὶ τοῖς ἐκτεταμένοις εἰς ὁδοὺς σκολιάς·
καὶ τί ποιήσετε, ὅταν ἐπισκέπτηται ὁ κύριος;

## <II$^{1}$suppl. 362 / V cap. O 4, 19>

---

**8 II$^{1}$suppl. 361 / V cap. O 4, 18** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)
**13 II$^{1}$suppl. 362 / V cap. O 4, 19** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 II$^{1}$1587** Sap. 1, 12$^{2}$ **6 – 7 II$^{1}$1588** Sir. 5, 9$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 57) **11 II$^{1}$1589** Οὐαὶ – σκολιάς] Sir. 2, 16 La (2, 14$^{1}$ LXX; Wahl, *Sirach-Text*, p. 48) **12** καὶ – κύριος] Ibid. 2, 14$^{2}$ (Wahl, p. 48)

---

**2 – 3 II$^{1}$1587** K cap. O 3, 17 (214r[11]12); V$^{E}$V$^{O}$ cap. O 4, 16; V$^{W}$ cap. O 4, 17; *deest in* H$^{I}$; PG 96, 213, 11–12 **5 – 7 II$^{1}$1588** K cap. O 3, 18 (214r[12]13–14); V$^{E}$V$^{O}$ cap. O 4, 17; V$^{W}$ cap. O 4, 18; P cap. O 4, 6; L$^{c}$ cap. O 2, 8; *deest in* H$^{I}$; PG 96, 213, 13–14 **10 – 12 II$^{1}$1589** K cap. O 3, 19 (214r[14]15–16); V$^{W}$ cap. O 4, 20; *deest in* V$^{E}$V$^{O}$ H$^{I}$

---

**II$^{1}$1587** (a) K (b) Σολομῶντος V **II$^{1}$1588** (a) K (b) Σιράχ V$^{W}$ P L$^{c}$ (c) *s. a.* V$^{E}$V$^{O}$ **II$^{1}$1589** (a) K (b) *s. a.* V$^{W}$

---

**3** ἐν – χειρῶν] ἔργων χειρὸς K **7** πᾶσι V$^{E}$V$^{O}$

## II$^{1}$1590 / K cap. O 3, 20

Ἐκ τῆς πρὸς Θεσσαλονικεῖς α′·

Πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

## II$^{1}$1591 / K cap. O 3, 21

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ<ν> α′ ψαλμόν·

Οἱ τὸ κακὸν φεύγοντες, οὐκ ἐὰν ἅπαξ που ἢ δεύτερον ἐκκλίνωσι τὴν ἁμαρτίαν, ἐπαινετοί, ἀλλ' ἐὰν δυνηθῶσι τοῦ κακοῦ τὴν πεῖραν εἰς τὸ παντελὲς διαδρᾶναι. Ἀρχὴ γὰρ πρὸς τὴν ἀνάληψιν τῶν καλῶν ἡ ἀναχώρησις τῶν κακῶν· *Ἔκκλινον* γάρ φησιν *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν*, σοφῶς καὶ ἐντέχνως εἰσάγων πρὸς ἀρετήν, τὴν ἀναχώρησιν τῆς κακίας ἀρχὴν ποιούμενος τῶν καλῶν.

## II$^{1}$1592 / K cap. O 3, 22

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ Ὑποθῆκαι παρθένοις, τῶν Ἐπῶν·

Μήτ' αἰσχρῶν ποτε μηδέν,        Μήτε τῶν αἰσχρῶν ποτὲ μηδέν,

---

**10 – 11** Ps. 36, 27$^{1}$

---

**3 – 4 II$^{1}$1590** I Thess. 5, 21–22 **7 – 9 II$^{1}$1591** Οἱ – διαδρᾶναι] Basilius Caesariensis, *Homilia in Psalmum I*, 3 (PG 29, 217, 20–23) **9 – 12** Ἀρχὴ – καλῶν] Ibid., 3–4 (PG 29, 217, 32–38) **16 – 881, 23 II$^{1}$1592** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 45–50 (PG 37, 582, 1–6)

---

**2 – 4 II$^{1}$1590** K cap. O 3, 20 (214r[mg]17–18); $V^{E}V^{O}$ cap. O 4, 20; $V^{W}$ cap. O 4, 22; *deest in* $H^{I}$; PG 96, 213, 20–21 **6 – 12 II$^{1}$1591** K cap. O 3, 21 (214r[18]19–214v3); $V^{E}V^{O}$ cap. O 4, 21; $V^{W}$ cap. O 4, 23; *deest in* $H^{I}$; PG 96, 213, 22–29 **14 – 881, 23 II$^{1}$1592** K cap. O 3, 22 (214v[3–4]5–23); *deest in* V $H^{I}$

---

**II$^{1}$1590** (a) K (b) Πρὸς Θεσσαλονικεῖς $V^{E}V^{O}$ (c) Τοῦ Ἀποστόλου $V^{W}$ **II$^{1}$1591** (a) K τὸν] *scripsi*, το *cod.* (b) Βασιλείου V βασιλίου $V^{W}$

---

**3** δοκιμάσαντες $V^{E}V^{O}$ κατέχεται $V^{E}V^{O}$ **7** οὐκ ἐὰν] *scripsi (ed.)*, οὐκ ἐ ἀν $V^{E}$, οὐκ ε ἀν $V^{O}$, οὐ καὶ ἂν $V^{W}$, οὐχ' ἒν K ἅπαξ ποῦ $V^{W}$, ἄπαξ *(sic)* $V^{E}V^{O}$ ἐκκλίνουσι K **8** τῆς ἁμαρτίας K **10** γάρ φησιν] γὰρ $V^{W}$ **11** πρὸς] εἰς $V^{E}V^{O}$

| | |
|---|---|
| ὃ πλείοσιν εὔαδε, | ὃ τοῖς πολλοῖς ἀρέσκει, |
| ῥέξῃς, | πράξῃς, |
| Μήτ’ ἀγαθοῦ | μήτε τοῦ καλοῦ |
| λήξειας, ὅ κεν | παύσῃ, ὅπερ ἂν |
| στυγέουσι κάκιστοι. | μισοῦσιν οἱ κακοί. |
| Ἔρδειν δ’ εὐκλείης μὲν | Πράττειν δὲ δόξης μὲν |
| ἐπάξια. Ἢν δ’ ἀπέῃσιν, | ἄξια. Ἐὰν δὲ μακρὰν ὑπάρχῃ, |
| Μή σέ γ’ ἀνιάτω | μή σε λυπείτω |
| ψεύστης λόγος, | ὁ ψευδὴς λόγος |
| | (τουτέστιν ὁ μὴ γινόμενος ἐπὶ τῷ καλῷ ἔπαινος), |
| ἀλλ’ ἴθι πρόφρων | ἀλλὰ πράττε καὶ πορεύου προθύμως |
| Τήνδ’ ὁδόν. | ταύτην τὴν ὁδόν (τουτέστιν τὴν καλήν). |
| Οἵ δ’ ὑλάοιεν | Οὗτοι δὲ ὑλακτοῖεν (τουτέστιν οἱ κακοί), |
| ἐτώσια· | μάταια· |
| οὐδὲν ἔρωτος | οὐδὲ τὸν πόθον |
| Θειοτέρου | τὸν θεῖον |
| βλάψουσιν. | ἀδικήσουσιν. |
| Ὁ δὲ φθόνος | Ὁ δὲ φθόνος αὐτῶν |
| ὄμματα τήκοι. | τοὺς ὀφθαλμοὺς κατατήκοι. |

**1** εὔαδε] *scripsi (ed.)*, εὔα δὲ K **7** ἀπέῃσιν] *scripsi (ed.)*, ἀπεῇσιν K **10 – 11** τουτέστιν – ἔπαινος] *interpretatio esse videtur ab excerptore addita* **14** Τήνδ’] *scripsi*, τὴν δ’ K, τὴν *ed.* **14 – 15** τουτέστιν – καλήν] *vide l.* 10 – 11 **16** ὑλάοιεν] *scripsi (ed.)*, ὑλαοῖ ἐν K **16 – 17** τουτέστιν – κακοί] *vide l.* 10 – 11

## II$^{1}$1593 / K cap. O 3, 23

Τοῦ αὐτοῦ, ἐκ τῶν τετραστίχων Γνωμῶν·

Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα,
Σπάραγμ’ ἐχίδνης πολλάκις διώλεσεν.
Τοῦτ’ οὖν ὁρῶν, ἔκκλινε καὶ μικρὸν βλάβος·
Μικρὸν μέν ἐστιν, εἰς δὲ μεῖζον ἔρχεται.

## II$^{1}$1594 / K cap. O 3, 24

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ πονηρὸν κεφαλαίου·

Πηγὴ κακῶν, μὴ βλύζε, μὴ μάταια φρήν.
Εἰ δ’ οὖν σύ, γλῶσσα, μὴ δέχου τὸν βόρβορον.
Εἰ δ’ οὖν σύ, χείρ γε, μὴ δέχου τὰ χείρονα.
Οὕτως ἂν εἰκὼν ἡμῖν ἄφθαρτος μένοι.

## II$^{1}$1595 / K cap. O 3, 25

Ἐκ τῶν αὐτῶν·

Δοιαὶ γὰρ Δύο γὰρ

**3 – 6 II$^{1}$1593** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 49–52 (PG 37, 931, 13 – 932, 3) **9 – 12 II$^{1}$1594** GREGORIUS NAZIANZENUS, *Carmina*, re vera II,1,61 *(Lamentatio)*, 5–8 (PG 37, 1405, 1–4) **15 – 883, 15 II$^{1}$1595** Δοιαὶ – κακίστοις$^{1}$] GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 33–37 (PG 37, 581, 3–7)

**2 – 6 II$^{1}$1593** K cap. O 3, 23 (214v[24]215r1–4); V$^{E}$V$^{O}$ cap. O 4, 22; V$^{W}$ cap. O 4, 24; *deest in* H$^{I}$; PG 96, 213, 30–33 **8 – 12 II$^{1}$1594** K cap. O 3, 24 (215r[4]5–8); V$^{E}$V$^{O}$ cap. O 4, 23; *deest in* V$^{W}$ H$^{I}$; PG 96, 213, 34–37 **14 – 883, 18 II$^{1}$1595** K cap. O 3, 25 (215r[8]9–215v4); *deest in* V H$^{I}$

**II$^{1}$1593** (a) K τετραστίχων] *scripsi*, Δ'στίχων *cod.* Γνωμῶν] *scripsi*, γνώμων *cod.* (b) Τοῦ Θεολόγου V$^{E}$V$^{O}$ (c) *s. a.* V$^{W}$ **II$^{1}$1594** (a) K (b) Τοῦ Θεολόγου V$^{O}$ (c) *s. a.* V$^{E}$

**4** σπάραγμα V$^{W}$ **5** τοῦτο V ἔκκλινον V **9** μάταια] *sic acc.* K V$^{E}$V$^{W}$, ματαία *ed.* **11** χείρ γε] *correxi (ed.)*, χεὶρ δὲ K, χεὶρ V$^{E}$V$^{O}$ δέχου] γράφε V$^{E}$V$^{O}$ **12** οὗτος V$^{E}$V$^{O}$ εἰκὼν] *post* ἡμῖν *transpos.* V$^{E}$V$^{O}$ **15** Δοιαὶ] *correxi (ed.)*, δύαι K

| | |
|---|---|
| μερόπεσσιν ὁδοί, | τοῖς ἀνθρώποις ὁδοί, |
| καὶ δισσὸν ὄνειδος· | καὶ διπλοῦν ὄνειδος· |
| Ἡ μὲν γὰρ κακὴ | ἡ μὲν γὰρ κακὴ |
| καὶ εἰς τέλος | καὶ εἰς τέλος |
| ἴσον ἄγουσα, | ὅμοιον φέρουσα, |
| Ἡ δ’ ἀγαθὴ | ἡ δὲ ἀγαθὴ |
| καὶ τῆσδε φίλον | καὶ ταύτῃ φίλον |
| τέλος, ὡς ἐπέοικεν. | καὶ αἴσιον τέλος, ὡς πρέπει. |
| Μῶμος δ’ ἀμφοτέρῃσιν· | Μέμψις δὲ ταῖς δυσίν· |
| ἐπ<ε>ὶ γλώσσης | ἐπ<ε>ὶ τῆς γλώσσης |
| τί κεν ἦεν | τί ἂν ὑπάρχοι |
| Φέρτερον, | βέλτιον, |
| εἰ μούνοισιν | εἰ μόνοις |
| ἐπέχραε | ἐπεβάρει |
| τοῖσι κακίστοις; | τοῖς κακίστοις; |
| Σὺ δέ μοι φράδμων | Σὺ δέ μοι περιεσκεμμένος |
| καὶ ἐπίσκοπος εἶναι | φύλαξ γενοῦ |
| Ἀμφοτέρων. | τῶν δύο. |

## II[1]1596 / K cap. O 3, 26

Ἐκ τῶν αὐτῶν·

| | |
|---|---|
| Πρόφρων μὲν | Προθύμως μὲν |
| τρηχεῖαν | τὴν τραχεῖαν |
| ἴθι τρίβον· | πορεύου ὁδόν· |
| εἰ δ’ ἐπιβαίης, | ἐὰν δὲ ἐπιβῇς, |

**16 – 18** Σὺ[1] – Ἀμφοτέρων] Ibid., 39–40 (PG 37, 581, 9–10) **21 – 884, 10 II[1]1596** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 62–65 (PG 37, 583, 5–8)

**20 – 884, 10 II[1]1596** K cap. O 3, 26 (215v[4]5–18); *deest in* V H[I]

**3** γὰρ[1]] γάρ τε *ed.* **10** ἐπεὶ[1]] *correxi (ed.)*, ἐπὶ K ἐπεὶ[2]] *scripsi*, ἐπὶ K **14** ἐπεβάρει] *scripsi*, ἐπιβαρεῖ K **17** εἶναι] *correxi (ed.)*, ἐπεκόπος K[a. c.], ἐπαικόπος K[p. c. in mg.] *(ζ<ή>τ<ει> in mg.)*

| | |
|---|---|
| Σκέπτεο<br>μή τις ὄλισθος,<br>ὅπως ἐπὶ τέρμα<br>πελάσ<σ>ῃς | λογίζου<br>μήπως τις ὄλισθος συμβῇ,<br>ὅπως ἐπὶ τὸ τέλος<br>προσεγγίσῃς |
| Ἄπτωτος, στεινὸν δὲ<br>διεξελάσῃς πυλῶνα, | ὀρθός, στενὸν δὲ<br>διαπεράσῃς πυλῶνα, |
| Ἔνθα φάος τε κλέος τε<br>κακῶν τε<br>ἄ<μ>πνευσις<br>ἁπάντων. | ἔνθα καὶ φῶς καὶ δόξα<br>καὶ κακῶν<br>ἀπόπαυσις<br>ἁπάντων. |

## II$^1$1597 / K cap. O 3, 27

Ἐκ τῶν μονοστίχων Γνωμῶν·

Νόει τὰ πάντα, πρᾶσσ᾽ ἃ δὲ πράσσειν θέμις.

## II$^1$1598 / K cap. O 3, 28

Τοῦ ἁγίου Ἰουστίνου, ἐκ τοῦ α′ λόγου τῆς ἀπολογίας αὐτοῦ·

Οὐ μόνον μὴ ἕπεσθαι τοῖς ἀδίκως τί πράξασιν ἢ δογματίσασιν ὁ σώφρων λόγος ὑπαγορεύει, ἀλλὰ καὶ ἐκ παντὸς τρόπου καὶ πρὸ τῆς αὐτοῦ ψυχῆς τὸν φιλαληθῆ, κἂν θάνατος ἀπειλῆται, τὰ δίκαια λέγειν τε καὶ πράττειν αἱρεῖσθαι.

---

**13 II$^1$1597** Gregorius Nazianzenus, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 13 (PG 37, 909, 12) **16 – 19 II$^1$1598** Iustinus Martyr, *Apologia pro Christianis ad Antoninum imperatorem*, I, 2,1 (3–7) (ed. Munier, p. 128)

---

**12 – 13 II$^1$1597** K cap. O 3, 27 (215v[19]20); *deest in* V H$^{I}$ **15 – 19 II$^1$1598** K cap. O 3, 28 (215v[21]22–216r2); *deest in* V H$^{I}$

---

**II$^1$1598** α′] *sic* K

---

**4** πελάσσῃς] *scripsi (ed.)*, πελάσῃς K **6** πυλῶνα] πυλεῶνα *ed.* **8** κακῶν τε] κακῶν τ᾽ *ed.* **9** ἄμπνευσις] *correxi (ed.)*, ἄπνευσις K **13** πρᾶσσε δ᾽ ἃ *ed.* **18** αὐτοῦ] *scripsi*, αὐτοῦ K, ἑαυτοῦ *ed.* φιλαληθῆ] *sic acc.* K

## II¹1599 / K cap. O 3, 29

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τοῦ εἰς τὴν συμφορὰν τῆς πόλεως·

Ἐπιγνῶμεν τὰς παγίδας καὶ πόρρωθεν αὐτῶν βαδίζωμεν. Ἐπιγνῶμεν τοὺς κρημνοὺς καὶ μὴ δὲ ἐγγὺς γινώμεθα. Τοῦτο ἀσφαλείας ἡμῖν ἔσται μεγίστης ὑπόθεσις, τὸ μὴ ἁμαρτήματα φεύγειν μόνον, ἀλλὰ καὶ τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, πρὸς δὲ τὰς ἁμαρτίας ἡμᾶς ὑποσκελίζοντα.

## II¹1600 / K cap. O 3, 30

Κλήμεντος, ἐκ τοῦ α′ Παιδαγωγοῦ·

Ἡ τῶν κακῶν ἀπαλλαγὴ σωτηρίας ἐστὶν ἀρχή.

## II¹1601 / K cap. O 3, 31

Ἐκ τοῦ ς′ Στρώματος·

Ὁ μὲν φρόνιμος τὰ χαλεπὰ καὶ πρὶν παθεῖν ἐφυλάξατο, ὁ δὲ ἐκ τῆς πείρας ἑαυτὸν ἐπανορθούμενος, οὐδὲ οὗτος ἄφρων· ἀλογώτατος δὲ ὁ μὴ δὲ τὰ συμβαίνοντα τιθέμενος ἀναγκαῖα φυλάγματα.

---

**10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 1.31./28. (ed. Ihm, p. 17)

---

**3 – 7 II¹1599** Iohannes Chrysostomus, *Ad populum Antiochenum*, XV *(In calamitatem civitatis Antiochiae)*, 4 (PG 49, 158, 44–49) **10 II¹1600** Clemens Alexandrinus, *Paedagogus*, I. Cap. VI. 26, 3 (ed. Stählin/Treu, p. 106, 1–2) **13 – 15 II¹1601** Clemens Alexandrinus, *Stromata*, VI, locus non repertus, Fr. 62 (ed. Stählin/Früchtel/Treu, p. 227, 30 – 228, 3); Holl, n° 301

---

**2 – 7 II¹1599** K cap. O 3, 29 (216r[3]4–9); $V^E V^O$ cap. O 4, 24; $V^W$ cap. O 4, 25; *deest in* $H^I$; PG 96, 213, 38–43 **9 – 10 II¹1600** K cap. O 3, 30 (216r[9]10); $V^E V^O$ cap. O 4, 25; $V^W$ cap. O 4, 26; *deest in* $H^I$; PG 96, 213, 44 **12 – 15 II¹1601** K cap. O 3, 31 (216r[11]12–16); *deest in* V $H^I$

---

**II¹1599** (a) K (b) Τοῦ Χρυσοστόμου V Τοῦ] *om.* $V^W$ **II¹1600** (a) K (b) Κλήμεντος V

---

**3** πόρρωθεν] πόρρω K βαδίζωμεν] *correxi (ed.),* βαδίζομεν V, βαδίσωμεν K **4** τοὺς] τὰς $V^O$ γενώμεθα V **5** μεγίστη K φυγεῖν K μόνον] μὲν $V^W$ **6** τὴν ἁμαρτίαν $V^E V^O$, τὰ ἁμαρτήματα K **7** σκελίζοντα $V^E V^O$

*II²/ Lᶜ cap. O 10

## Τίτλος δʹ Περὶ ὅρκου, ὅτι τοῖς ἐπὶ κακῷ δεδομένοις ὅρκοις οὐ χρὴ ἐμμένειν.

## αʹ Περὶ ὅρκου, καὶ ὅτι τοῖς ἐπὶ κακῷ καὶ ἀτόπῳ δεδομένοις ὅρκοις οὐ χρὴ ἐμμένειν.

*II²2101 / Lᶜ cap. O 10, 2

### II¹1602 / K cap. O 4, 1

Βασιλειῶν αʹ·

Εἶπεν Σαοὺλ πρὸς Ἰωνάθαν· Ἀπάγγειλον δή μοι τί ἐποίησας. Καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν, καὶ εἶπεν· Γευσάμενος ἐγευσάμην ἐπ᾿ ἄκρου τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρί μου βραχὺ μέλι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. Καὶ εἶπεν αὐτῷ Σαούλ· Τάδε ποιήσαι μοι ὁ θεός, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. Καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· Εἰ σήμερον θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην ταύτην ἐν Ἰσραήλ; Ζῇ κύριος, εἰ πεσεῖται τῆς τριχὸς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεος τοῦ θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. Καὶ προσηύξατο ὁ λαὸς περὶ Ἰωνάθαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἀπέθανεν.

---

**1 – 2** ὅτι – ἐμμένειν] cf. II¹ / $K^{pin}$ Παραπομπὴ X 21

---

**7 – 16 II¹1602** I Reg. 14, 43–45 (Wahl, *1 Samuel-Text*, p. 55–56)

---

**1 – 2 Titlos (a)** K (216r16–17); *loci ad titulum cap.* O 4 *pertinentes per errorem sub titulo cap.* O 5 *exhibentur* **3 – 4 Titlos (b)** V $A^{I\ pin}$; *deest in* $H^{I}A^{I\ txt}$ **6 – 16 II¹1602** K cap. O 4, 1 (216r21–216v9); V cap. O 1, 1; *deest in* $H^{I}$; PG 96, 208, 29–39

---

**3 – 4 Titlos (b)** **3** αʹ] *propt. mg. resect. non liquet in* $A^{I\ pin}$ (*αʹ secund. ser.*), *om.* $V^{O\ txt}$, *praem.* τίτλος αʹ *(sic)* $V^{E\ pin}V^{O\ pin}$, *praem.* τίτλος $V^{W\ txt}$ δϊδομένοις $A^{I\ pin}$, δεδεμένοις $V^{W}$

---

**II¹1602** (a) V αʹ] *om.* $V^{W}$ (b) *s. a.* K

---

**7** Ἀπάγγειλον δή μοι] ἀπάγγειλόν μοι V **8** Ἰωνάθαν] *om.* V **9** ἄκρω K $V^{W}$ βραχὺ] βραχύ τι K **10** ἀποθνήσκωι K αὐτῷ] τῶ $V^{W}$ ποιήσει μοι V **11** ἀποθανεῖ $V^{E}V^{O}$ **13 – 14** Ζῇ – γῆν] *om.* $V^{E}V^{O}$ **13** τῆς] *praem.* ἀπο $V^{W\ s.\ l.\ man.\ rec.}$ **14** τριχὸς] *add.* τῆς κεφαλῆς $V^{W\ in\ mg.\ man.\ rec.}$ ἐν] *om.* $V^{E}V^{W\ a.\ c.}V^{O}$ **15 – 16** τῇ – ἐκείνῃ] *om.* V

## II¹1603 / K cap. O 4, 2

*II²2105 / Lᶜ cap. O 10, 6

Ἀπὸ τοῦ Ἐκκλησιαστοῦ·

Μὴ στῇς ἐν λόγῳ πονηρῷ.

## II¹1604 / K cap. O 4, 3

Ἱερεμίου προφήτου·

Εἶπεν ὁ βασιλεὺς τῷ Ἱερεμίᾳ· Ἐγὼ λόγον ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώσειν με εἰς χεῖρας αὐτῶν καὶ καταμωκήσονταί μου. Καὶ εἶπεν Ἱερεμίας· Οὐ μὴ παραδώσουσίν σε· ἄκουσον τὸν λόγον κυρίου, ὃν ἐγὼ λέγω πρὸς σέ, καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου.

## II¹1605 / K cap. O 4, 4

Σχόλιον·

Οὗτος ἀπειθήσας τῷ προφήτῃ, καὶ τὸν ὑπ᾽ αὐτοῦ προπετῶς δοθέντα ὅρκον φυλάξαι σπουδάσας, αἰχμάλωτος γίνεται.

---

**14** αἰχμάλωτος γίνεται] cf. Ier. 46, 3 app. crit.

---

**3 II¹1603** Eccle. 8, 3² (Wahl, *Kohelet-Text*, p. 163) **6 – 10 II¹1604** Ier. 45, 19–20 (Wahl, *Prophetenzitate*, p. 581) **13 – 14 II¹1605** *Scholion in Ier. 45, 19–20*

---

**2 – 3 II¹1603** K cap. O 4, 2 (216v[9]10); *deest in* V Hᴵ **5 – 10 II¹1604** K cap. O 4, 3 (216v[10]11–16); VᴱVᴼ cap. O 1, 2; Vᵂ cap. O 1, 3; *deest in* Hᴵ; PG 96, 208, 40–45 **12 – 14 II¹1605** K cap. O 4, 4 (216v[17]17–19); Vᵂ cap. O 1, 4; *deest in* VᴱVᴼ Hᴵ; PG 86, 2088, 6–8

---

**II¹1604** (a) K (b) Ἱερεμίου Vᵂ (c) *s. a.* VᴱVᴼ **II¹1605** (a) K (b) *s. a.* Vᵂ

---

**7** πεφευγόντων K δώσιν με VᴱVᴼ χεῖρας] *praem.* τὰς K **8** καταμωκίσωνταί μου VᴱVᵂ **9** πρὸς σέ] *om.* V **14** φύλαξαι Vᵂ

*II[2]2108 / L[c] cap. O 10, 9

## II[1]1606 / K cap. O 4, 5

Ματθαίου, ἐν κεφαλαίῳ ρμε′·

Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ· ὅθεν μεθ’ ὅρκου ὤμοσε δοῦναι αὐτῇ ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. Καὶ ἐλυπήθη ὁ βασιλεύς, διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι. Καὶ πέμψας ἀπεκεφάλισεν τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς.

*II[2]2109 / L[c] cap. O 10, 10

## II[1]1607 / K cap. O 4, 6

Σχόλιον·

Ἄμεινον ἦν τῷ Ἡρώδῃ τὸν ὑπ’ αὐτοῦ δοθέντα ὅρκον παραβῆναι ἢ τὸν προφήτην καὶ ἅγιον καρατομῆσαι.

*II[2]2107 / L[c] cap. O 10, 8

## II[1]1608 / K cap. O 4, 7

Ἰωάννου, ἐν κεφαλαίῳ ριζ′·

Ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ

---

**3 – 10 II[1]1606** Matth. 14, 6–11 **13 – 14 II[1]1607** *Scholion in Matth. 14, 6–11* **17 – 889, 6 II[1]1608** Ioh. 13, 6–9

---

**2 – 10 II[1]1606** K cap. O 4, 5 (216v[19]20–217r6); V[E]V[O] cap. O 1, 3; V[W] cap. O 1, 5; *deest in* H[I]; PG 96, 208, 46–51 **12 – 14 II[1]1607** K cap. O 4, 6 (217r[7]7–9); V[E]V[O] cap. O 1, 4; V[W] cap. O 1, 6; *deest in* H[I]; PG 86, 2088, 9–11; PG 96, 208, 52–54 **16 – 889, 6 II[1]1608** K cap. O 4, 7 (217r[9]10–18); *deest in* V H[I]

---

**II[1]1606** (a) K (b) Ματθαίου V[E]V[O] (c) Τοῦ Εὐαγγελίου V[W] **II[1]1608** ριζ′] *sic* K, *re vera* ριε′

---

**3** δὲ] *om.* V ἡρώδου V[E] **3 – 4** ἡρωδιᾶδος V[W] **4** ἐν – μέσῳ] *om.* V ἡρώδη V[W] μεθ’ ὅρκου] *scripsi*, μεθόρκου V, μετ’ ὅρκου K **5** αἰτήσεται V[O] **6** μητρὸς αὐτῆς] ἰδίας μητρὸς K ὧδε] *om.* V **7 – 10** Καὶ – αὐτῆς] καὶ δέδωκεν αὐτῇ (-ῆν V[O]) V **13** ἡρώδη V[W], ηρώδη V[E] **14** καὶ ἅγιον] *om.* V[E]V[O], *add.* τοῦ θεοῦ V[W] καρατομῖσαι V[E]V[O p. c.], κρατομῖσαι V[O a. c.] **17** Σίμωνα] *correxi*, σίμονα K

μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ ὁ Πέτρος· Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν.

## II$^{1}$1609 / K cap. O 4, 8

Σχόλιον·

Ἐπίσκεψαι ἐν τῷ Περὶ ὀργῆς παραλλήλῳ ἀνάγνωσμα τοῦ μακαρίου Κυρίλλου θαυμαστόν.

---

**9** Περὶ ὀργῆς] cf. III / par. 53[51] B; cf. etiam II$^{1}$ / K$^{pin}$ Σχόλιον O 9

---

**9 – 10 II$^{1}$1609** *Scholion*

---

**8 – 10 II$^{1}$1609** K cap. O 4, 8 (217r[18]18–20); *deest in* V H$^{I}$

## III / par. 33[34] B Τίτλος ε′ Περὶ ὀνόματος κακοῦ.

### II$^1$1610 / K cap. O 5, 1

Ἀπὸ τοῦ Σιράχ·

Ὄνομα πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει.

### II$^1$1611 / K cap. O 5, 2

Τοῦ αὐτοῦ·

Ἄνθρωπος ἄχαρις, μῦθος ἄκαιρος.

---

**4 II$^1$1610** Sir. 6, 1$^2$ (Wahl, *Sirach-Text*, p. 58–59) **7 II$^1$1611** Sir. 20, 19$^1$ (Wahl, *Sirach-Text*, p. 101)

---

**1 Titlos** K (216r20) *loci ad titulum cap.* O 5 *pertinentes per errorem sub titulo cap.* O 4 *exhibentur* **3 – 4 II$^1$1610** K cap. O 5, 1 (216r[17]18–19); V cap. O 5, 6; P cap. O 15, 6; E cap. 167, 4; $L^c$ cap. O 9, 6; *deest in* $H^I$ $M^{(lac.)}$ $L^b$; PG 96, 216, 3–4 **6 – 7 II$^1$1611** K cap. O 5, 2 (216r[19]20); V cap. O 5, 7; P cap. O 15, 7; E cap. 167, 5; $L^c$ cap. O 9, 7; *deest in* $H^I$ $M^{(lac.)}$ $L^b$; PG 96, 216, 5

---

**1 Titlos** Τίτλος ε′] *om.* $K^{pin}$

---

**II$^1$1610** (a) K (b) Τοῦ αὐτοῦ P (c) *s. a.* $V^E V^O$ E $L^c$ (d) *s. d.* $V^W$ **II$^1$1611** (a) K (b) *s. a.* V P E $L^c$

---

**4** αἰσχύνη $V^W$, αἰσχυνει P **7** ἀχαρὴς K P E $L^c$

**Τίτλος ϛʹ Περὶ οἰήσεως καὶ δοκήσεως, καὶ ὅτι κρεῖττον τὸ εἶναι τοῦ δοκεῖν· ἐμπόδιον γὰρ τοῦτο πρὸς ἀρετήν.** *II$^2$ / PML$^b$ cap. O 10

**ϛʹ Περὶ οἰήσεως καὶ δοκήσεως, καὶ ὅτι κρεῖττον τὸ εἶναι τοῦ δοκεῖν· ἐμπόδιον γὰρ τοῦτο πρὸς ἀρετήν.**

## II$^1$1612 / K cap. O 6, 1

Τῶν Παροιμιῶν·

<Ε>ἶδον ἄνδρα δόξαντα παρʼ ἑαυτῷ σοφὸν εἶναι,
ἐλπίδα μέντοι ἔσχε μᾶλλον ἄφρων αὐτοῦ.

## II$^1$1613 / K cap. O 6, 2

Τοῦ Ἐκκλησιαστοῦ·

Εἶδον δίκαιον ἀπολλύμενον ἐν τῷ δικαιώματι αὐτοῦ·
καί γε τοῦτο ματαιότης.

---

**1** δοκήσεως] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Δ 4

---

**7 – 8 II$^1$1612** Prov. 26, 12$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 128) **11 II$^1$1613** Εἶδον – αὐτοῦ] Eccle. 7, 15$^2$ (Wahl, *Kohelet-Text*, p. 161) **12** καί – ματαιότης] Ibid. 7, 6$^3$ et pluribus aliis locis (Wahl, p. 161)

---

**1 – 2 Titlos (a)** K (217r20–23) **3 – 4 Titlos (b)** V A$^{I\,pin}$; *deest in* H$^I$A$^{I\,txt}$ **6 – 8 II$^1$1612** K cap. O 6, 1 (217r[23]24–217v1); *deest in* V H$^I$ **10 – 12 II$^1$1613** K cap. O 6, 2 (217v[1]2–3); V cap. O 6, 1; P cap. O 10, 20; L$^c$ cap. O 3, 20; *deest in* H$^I$; PG 96, 216, 9–10

---

**1 – 2 Titlos (a) 1** ϛʹ] εʹ K$^{pin}$ *(ϛʹ secund. ser.)* καὶ δοκήσεως] *om.* K$^{pin}$ **2** τοῦτο – ἀρετήν] πρὸς ἀρετὴν ἡ ἀπὸ τῆς δοκήσεως πλάνη *(an recte?)* K$^{pin}$ **3 – 4 Titlos (b) 3** ϛʹ] *propt. mg. resect. non liquet in* A$^{I\,pin}$ *(ϛʹ secund. ser.)*, *praem.* τίτλος V$^{W\,txt}$ οἰήσεως] εἰήσεως *(sic)* V$^{O\,pin}$, ποιήσεως V$^{E\,txt}$ τὸ] τοῦ V$^{E\,pin}$ V$^W$V$^{O\,pin}$ τοῦ] τὸ V$^{O\,pin}$, το V$^{E\,pin}$ **4** δοκεῖ V$^{O\,txt}$ ἐμπόδιον] ἐν ποδὶ V$^{E\,txt}$

---

**II$^1$1613** Τοῦ] *deest in* V

---

**7** *scripsi*, ἶδον K **8** ἄφρων αὐτοῦ] *correxi (LXX)*, ἄφρονα αὐτοῦ K$^{a.\,c.\,ut\,videtur}$, ἄφρονα αὐτοῦ K$^{p.\,c.\,ut\,videtur}$ **11** Εἶδον] ἶδον K, ὁδον *(rubricatoris vitio)* L$^c$ ἀπολύμενον V$^O$

*II$^2$2142 / PML$^b$ cap. O 10, 7

## II$^1$1614 / K cap. O 6, 3

Ἐκ τῆς πρὸς Κορινθίους α′·

Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστίν. Γέγραπται γάρ· Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, καὶ πάλιν· *Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι.* Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις.

*II$^2$2143 / PML$^b$ cap. O 10, 8

## II$^1$1615 / K cap. O 6, 4

Καὶ μετ᾽ ὀλίγα·

Εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. Τίς γάρ σε διακρίνει; Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

*II$^2$2144 / PML$^b$ cap. O 10, 9

## II$^1$1616 / K cap. O 6, 5

Ἐκ τῆς αὐτῆς·

Εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι.

---

**3 – 5** Εἴ – ἐστίν] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.2./2. (ed. Ihm, p. 396) **5 – 6** Ὁ – αὐτῶν] cf. Iob 5, 12$^1$ et 13$^1$ **6 – 7** Ps. 93, 11 **16** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 49.3./56.3. (ed. Ihm, p. 810)

---

**3 – 8 II$^1$1614** I Cor. 3, 18–21 **11 – 13 II$^1$1615** I Cor. 4, 6–7 **16 II$^1$1616** I Cor. 8, 2

---

**2 – 8 II$^1$1614** K cap. O 6, 3 (217v[3]4–10); V cap. O 6, 2; *deest in* H$^I$; PG 96, 216, 11–17 **10 – 13 II$^1$1615** K cap. O 6, 4 (217v[10]11–13); V cap. O 6, 3; *deest in* H$^I$; PG 96, 216, 18–20 **15 – 16 II$^1$1616** K cap. O 6, 5 (217v[13]14–15); *deest in* V H$^I$

---

**II$^1$1614** (a) K (b) Ἀποστόλου V$^W$ (c) *s. a.* V$^E$V$^O$ **II$^1$1615** (a) K (b) *s. a.* V

---

**3** ἐν$^1$] παρ᾽ V$^E$V$^O$ **5** τῷ] *om.* V$^E$V$^O$ τοὺς] *om.* V$^W$ *(in mg. supplev. man. rec.)* **7** τῶν ἀνθρώπων] *om.* K *(*τῶν σοφῶν *in mg. supplev. man. rec.)* **11** φυσιοῦσθαι V$^E$V$^O$ Τίς γάρ σε] τίς γαρ καὶ *(sic)* V$^W$ **11 – 12** διακρίνη V$^E$V$^O$, διακρινεῖ V$^W$ **12** καυχάσαι K$^{p.c.}$ V$^{E\ p.c.}$

## II$^1$1617 / K cap. O 6, 6

***II$^2$2145 / PML$^b$ cap. O 10, 10**

Ἐκ τῆς πρὸς Γαλάτας·

Εἰ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν· τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον.

## II$^1$1618 / K cap. O 6, 7

***II$^2$2152/ PML$^b$ cap. O 10, 17**

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τῶν Ἐπῶν·

| | |
|---|---|
| Μή σοι τὸ εἶναι<br>τῷ δοκεῖν ὑπεκρέοι. | Μὴ τῷ εἶναί σε [ἀληθινῶς<br>καλὸν] οἴησις ἐνυπαρχέτω<br>ὅτι πάντως εἶ. |
| Ὥς τινες·<br>οὐ γὰρ ἄνακτος ἐτήτυμον<br>ἔδρακον ὕψος· | Οὕτως τινές·<br>οὐδαμῶς γὰρ τοῦ θεοῦ ἀληθῶς<br><ε>ἶδον τὸ ὕψος· |
| Μικρὸν ἀναθρώσκοντες,<br>ἔχειν δοκέουσι<br>πᾶν ὕψος. | ὀλίγον ἀναπηδῶντες,<br>ἔχειν ὑπονοοῦσι<br>πᾶν ὕψος. |
| Κρεῖσσον ἄριστον ἐόντα | Βέλτιον καλὸν ὄντα |

---

**3 – 5 II$^1$1617** Gal. 6, 3–4 **8 – 9 II$^1$1618** Μή – ὑπεκρέοι] GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 12 (PG 37, 909, 11) **11 – 16** Ὥς – ὕψος$^1$] IBID., I,2,2 *(Praecepta ad virgines)*, 25–26 (PG 37, 580, 6–7) **17 – 894, 12** Κρεῖσσον – τερπνοῖς] IBID., II,1,1 *(De rebus suis)*, 514–517 (ed. Tuilier/Bady, p. 35)

---

**2 – 5 II$^1$1617** K cap. O 6, 6 (217v[15]16–19); V cap. O 6, 4; *deest in* H$^I$; PG 96, 216, 21–24 **7 – 894, 12 II$^1$1618** K cap. O 6, 7 (217v[19–20]21–218r18) *(Versio primitiva et paraphrasis)*; V cap. O 6, 5; P cap. O 10, 21; L$^c$ cap. O 3, 21 *(Versio primitiva deest in* V P L$^c$*)*; *deest in* H$^I$; PG 96, 216, 25–29

---

**II$^1$1617** (a) K (b) Πρὸς Κορινθίους V$^E$V$^O$ (c) Τοῦ αὐτοῦ V$^W$ **II$^1$1618** (a) K (b) Τοῦ Θεολόγου, ἐκ τῶν Ἐπῶν P (c) Τοῦ Θεολόγου V L$^c$ Τοῦ] *om.* V$^W$

---

**3** εἴ τις δοκεῖ V εἶναί τι] εἶναι K$^{a. c. s. l.}$ **5** ἕξει] *scripsi (NT)*, ἔξει V, ἤξει K οὐκ] οὕτως V$^W$ **8 – 16** Μή – ὕψος$^2$] *om.* V P L$^c$ **8** τῷ] *scripsi*, τὸ K **8 – 9** ἀληθινῶς καλὸν] *secludenda puto* **9** ὑπεκρέοι] ὑπορρέοι *ed.* **13** εἶδον] *scripsi*, ἴδον K

| | |
|---|---|
| δοκεῖν κακόν, | νομίζειν κακόν, |
| ἠὲ κάκιστον, | ἤπερ κάκιστον, |
| Κῦδος ἔχοντ’ | δόξαν ἔχοντα |
| ἀγαθοῖο, | ἀγαθοῦ, |
| τάφον ψεύστην | ὡς τάφος πλαστὸς |
| μερόπεσσιν | τοῖς ἀνθρώποις φαινόμενος |
| Ἔμμεναι, | καὶ ὑπάρχων, |
| ὃς μυδόωσι νεκροῖς | ὅστις σεσηπόσι νεκροῖς |
| ἔντοσθεν ὀδωδώς, | ἔσωθεν ὑπερόζων, |
| Ἔκτοθεν | ἔξωθεν δὲ |
| ἀπαστράπτει κονίῃ | λάμπει ἀσβέστῳ |
| καὶ χρώμασι τερπνοῖς. | καὶ ζωγραφίαις τερπναῖς. |

## II$^{1}$1619 / K cap. O 6, 8

Ἐκ τῶν τετραστίχων Γνωμῶν·

| | |
|---|---|
| Σπεῦδε μὲν | Σπούδαζε μὲν |
| εἶναι ἄριστος, | εἶναι καλός, |
| <ἀ>φάνδανε δ’ | ἀπάρεσκε δὲ |
| οἷσιν ἄριστον. | οἷστισι βέλτιον. |
| Τὴν κακίην τέρπειν | Τὴν κακίαν γὰρ τέρπειν |
| δυσκλεές ἐστι κλέος. | κακόδοξός ἐστι δόξα. |
| Δόξαν δίωκε | Δόξαν πόθησον |

**15 – 20 II$^{1}$1619** Σπεῦδε – κλέος] GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,31 *(Distichae sententiae)*, 47–48 (PG 37, 914, 7–8) **21 – 895, 11** Δόξαν$^{1}$ – λέων$^{1}$] IBID., I,2,33 *(Tetrastichae sententiae)*, 93 – 96 (PG 37, 935, 1–4)

**14 – 895, 11 II$^{1}$1619** K cap. O 6, 8 (218r[19]20–218v12) *(Versio primitiva et paraphrasis)*; V cap. O 6, 6 *(Versio primitiva deest in* V*)*; *deest in* H$^{I}$; PG 96, 216, 30 – 34

**II$^{1}$1619** (a) K (b) Τοῦ αὐτοῦ V$^{O}$ (c) *s. a.* V$^{E}$V$^{W}$

**2** ηπερ P, εἵπερ V$^{E}$V$^{O}$, εἴπερ V$^{W}$, ὅπερ L$^{c}$ **3** ἔχοντα] ἔχοντ’ K **5 – 12** ὡς – τερπναῖς] *om.* P L$^{c}$ **7 – 8** ὑπάρχων – ὅστις] ὑπάρχοντος ἐκ V$^{W}$ **9** ὑπερόζων] ὑπὲρ ὄζων V$^{E}$V$^{O}$, ὑπερώζων K **11** ἀστράπτει *ed.* κονίῃ] *scripsi (ed.)*, κονίης K λάμπη V$^{E}$ **15 – 20** Σπούδαζε – δόξα] *om.* V **17** ἀφάνδανε] *scripsi (ed.)*, φάνδανε K

| | |
|---|---|
| μήτε πᾶσαν<br>μήτ᾽ ἄγαν· | μήτε πᾶσαν<br>μήτε πάνυ· |
| Κρεῖσσον γὰρ εἶναι<br>τοῦ δοκεῖν.<br>Εἰ δ᾽ ἄμετρος εἶ, | βέλτιον γὰρ τὸ εἶναι<br>τοῦ νομίζειν.<br>Εἰ δὲ ἄπληστος εἶ (περὶ τούτου), |
| Μὴ τὴν κενὴν θήρευε,<br>μὴ δὲ τὴν νέαν. | μὴ τὴν ματαίαν ἄγρευε,<br>μὴ δὲ τὴν νεαρὰν (ἢ τὴν<br>κεχρωσμένην). |
| Τί γὰρ πιθήκῳ<br>κέρδος, ἂν δοκῇ<br>λέων; | Τίς γὰρ τῷ πιθήκῳ<br>ὠφέλεια ἐκ τοῦ ἀκούειν<br>καὶ καλεῖσθαι λέων; |

## II$^{1}$1620 / K cap. O 6, 9

Τῶν αὐτῶν·

Οὐδὲν τοῦ εἶναι διὰ τὸ δοκεῖν ἀφαιρήσωμεν.

## II$^{1}$1621 / K cap. O 6, 10

Ἐκ τῶν αὐτῶν, διὰ ἰάμβων·

| | |
|---|---|
| Εἴ σοι πίθηκον εἰς λέοντα<br>σκευάσας | Εἴ σοι πίθηκον εἰς λέοντα<br>μετασχηματίσας |

**14 II$^{1}$1620** Gregorius Nazianzenus, re vera *De seipso et ad eos qui ipsum cathedram Constantinopolitanam affectare dicebant (Orat. 36)*, 8, 18–19 (ed. Moreschini, p. 260) **17 – 896, 20** Εἴ$^{1}$ – πλέον$^{1}$] Gregorius Nazianzenus, *Carmina*, I,2,27 *(In nobilem male moratum)*, 1–8 (PG 37, 854, 6–13)

**13 – 14 II$^{1}$1620** K cap. O 6, 9 (218v[12]13); *deest in* V H$^{I}$ **16 – 897, 27 II$^{1}$1621** K cap. O 6, 10 (218v[14]15–219v9) *(Versio primitiva et paraphrasis)*; V cap. O 6, 7 *(Versio primitiva deest in* V*)*; *deest in* H$^{I}$; PG 96, 216, 35–40

**II$^{1}$1621** (a) K (b) *s. a.* V H$^{I}$

**3** τὸ] τοῦ V$^{W}$ **5** δὲ] δ᾽ K περὶ τούτου] *interpretatio esse videtur ab excerptore addita* **7 – 8** ἢ – κεχρωσμένην] *vide l.* 5 **8** κεχρωσμένην] κεχρυοσμένην V$^{W}$ **9** τῷ] *om.* K **10** δοκῇ] *scripsi (ed.)*, δουκὴ K **14** ἀφαιρήσωμεν] ἀφαιρήσομεν *ed.* **17** εἰς λέοντα$^{2}$] *post* μετασχηματίσας *transpos.* V$^{E}$V$^{O}$ **18** μετασχηματήσας K

| | |
|---|---|
| Σπουδῇ προσῆγον,<br>ἆρ’ ἂν ἠδέσθης ἰδών; | σπουδῇ προσήνεγκα,<br>ἆρα οὐκ ἂν ἠσχύνθης θεασάμενος; |
| Καὶ πῶς; Τί δ’ εἴ σοι<br>κύκνος ἠγωνίζετο | Καὶ ποίῳ τρόπῳ; Τί δέ, εἴ σοι<br>ὁ κύκνος εἰς τέρψιν ἐθεατρίζετο; |
| Δοκεῖν ὁ πάντ’ αἴσχιστος<br><br>ὀρνίθων κόραξ, | Τί σοι ἐδόκει ὁ πάντων<br>ἀτιμότατος<br>τῶν ὀρνέων κόραξ, |
| Χρωσθεὶς τὸ λευκόν;<br><br>Ἦ γελοῖος ἦν πλέον; | περιχρίσας ἑαυτὸν τῷ λευκῷ<br>σχήματι;<br>Οὐ καταγελαστότερος<br>πολλῷ πλέον; |
| Ἐμοὶ γὰρ φαίνεται.<br>Εἰ δ’ ὁ δυσγενὴς τρόπον | Ἐμοί γε οὕτως φαίνεται.<br>Εἰ δὲ καὶ ὁ κακοήθης τὸν τρόπον<br>καὶ μοχθηρὸς |
| Φρυάσσετ’ εὐγένειαν,<br><br>αἰδεσθήσομαι; | ἐπαίρεται ὑπερηφανίαν ὡς<br>εὐγενής,<br>αἰσχυνθήσομαι; |
| Οὐδὲν γὰρ εἰκῶ<br>τὴν γεγραμμένην<br>πλέον <***> | Οὐδὲν γὰρ τῆς εἰκόνος<br>καὶ σχήματος γραπτοῦ καὶ<br>πλαστοῦ ἔχει πλέον. |
| Τί ταῦτα,<br>καὶ τί πάσχετε,<br>ὦ θνητῶν γένος; | Διατί ταῦτα,<br>καὶ τί πάσχετε,<br>ὦ ἀνθρώπων γένος; |

**21 – 897, 27** Τί – φέρειν] Gregorius Nazianzenus, *Carmina*, I,2,27 *(In nobilem male moratum)*, 11–34 (PG 37, 855, 1 – 856, 11)

**1** σπουδῇ] σπουδὴ V$^{E}$, σπουδὴν V$^{O}$, σπουδίας V$^{W}$ προσήνεγκαν V$^{O}$ **2** ἂν$^{1}$] *correxi (ed.)*, οὖν K ἆρα] ἄρα V$^{W}$ αἰσχύνθης V$^{W}$, ἰσχύνθης V$^{E}$V$^{O}$ **3** Καὶ$^{2}$ – τρόπῳ] *om.* V$^{E}$V$^{O}$ δέ, εἴ σοι] δέ σοι V$^{W}$ **4** ὁ] *om.* K ἐθεάτριζεν *(-ζ- non liquet in* V$^{E}$; -ε V$^{W}$*)* V$^{E}$V$^{W\ e\ corr.}$ V$^{O}$ **5** Τί σοι] *om.* K **6** ἀτιμώτατος V **10** Οὐ] οὗ V$^{W}$ **12** Ἐμοὶ γὰρ] Ἔμοιγε *ed.* φαίνετ’ *ed.* **12 – 897, 7** Ἐμοί – τοῦτο] *om.* V **13** τὸν] *s. l.* K **14** μοχθηρὸς] *scripsi*, μόχθον K **18** Οὐδὲν$^{1}$] οὐ δὴ *ed.* **19** σχήματος] *scripsi*, σχῆμα τοῦ K **20** *post* πλέον *quaedam excidisse videntur (*Τῆς τοῦ πνέοντος ἀνδρὸς *[sic acc.]*, εἰ καὶ λάμπεται *ed.)* **22** πάσχετ’ *ed.*

| | |
|---|---|
| Ἵππος μὲν οὐδεὶς<br>ὅστις οὐχ’ ἵππος φύσιν, | Ἵππος μὲν γὰρ οὐδεὶς<br>ὅστις οὐχ’ ἵππος τὴν φύσιν, |
| Οὐδ’ ὄρνις ὅστις<br>οὐ πτερῷ κουφίζεται. | οὐδὲ ὄρνεον ὅστις<br>οὐ τῷ πτερῷ ὑψοῦται<br>καὶ κουφίζεται. |
| Βοῦν δὲ ἰδών τις,<br>εἶπε· Δελφὶς τοῦτό γε; | Βοῦν δὲ ἰδών τις,<br>εἶπεν ὅτι Δελφίς ἐστιν τοῦτο; |

Ὅπερ δ’ ἕκαστόν ἐστι, καὶ γνωρίζεται.
Δύο δὲ ταῦτα τῆς βίου κωμωδίας.
Κατηστέρισται ζῶον ἐν γῇ κείμενον,
Καὶ γράμμα ποιεῖ τὸν κάκιστον εὐγενῆ.
Ἵππόν τιν’ ὠνῇ τὸν καλόν τε καὶ ταχύν,
Ἢ τὸν κακὸν μέν, ἐκ γένους δὲ γνωρίμου;
Τὸν καλόν, οἶδα. Τοὺς κύνας δ’, οὐ τοὺς ταχεῖς;
Οὕτω. Τί δ’; Οὐχ’ ἅπαντα τὸν αὐτὸν τρόπον;
Τὰ πάνθ’ ὁμοίως. Σὺ δέ μοι κάκιστος ὤν,
Καλεῖς σεαυτὸν εὐγενῆ; Ληρεῖς μάτην.
Ἡ σπάρτος ὀρθὸν δειξάτω, καὶ πείθομαι.
Σὺ δυσγενῆ με, κἂν ἐλεύθερον, καλεῖς.
Ἐγὼ γελῶ σου τὴν νόσον, εἰ κάκιστος ὤν,
Οἴει καλῦψαι τῷ γένει τὸ δύστροπον.
Ὁ πλοῦτος ἔκριν’ εὐγενεῖς, οὐχ’ ὁ τρόπος,
Τυχόν γε τοὺς ἀφ’ ὧν σύ. Θὲς καὶ τὸν τρόπον·
Τί τοῦτο πρὸς σὲ τὸν κάκιστον εὐγενῆ;
Τὸν εὐγενῆ μέν, δυσγενῆ δὲ τῷ τρόπῳ,
Νεκρὸν νομίζω τῶν καλῶν ὀδωδότα.
Μι’ εὐγένεια, τὸν τρόπον χρηστὸν φέρει<ν>.

---

**2** φύσιν] φύσει *ed.* **6** δὲ ἰδών τις] δ’ εἰσιδών τις *ed.* **7** Δελφίς ἐστιν] *scripsi*, δελφῖς ἐστιν K **8** Ὅπερ] *abhinc versio primitiva tantum exstat* **10** Κατηστέρισται] *correxi (ed.)*, κατηστέρηται K **12** ὠνῇ τὸν] *correxi (ed.)*, ὠνητὸν K **18** Ἡ] *correxi (ed.)*, ἢ K **19** καλεῖς] *scripsi (ed.)*, καλῆις K **21** καλῦψαι] *sic acc.* K, καλύψειν *ed.* **23** τυχών γε $K^{\text{p. c. ut videtur}}$ τοὺς] *correxi (ed.)*, τῶν K **27** φέρειν] *scripsi (ed.)*, φέρει K

*II²2146 / PMLᵇ cap. O 10, 11

## II¹1622 / K cap. O 6, 11

Ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Εὖ οἶδα ὅτι τὸ οἴεσθαι τοῦ εἶναι πλεῖστον ἀφαιρεῖ.

*II²2147 / PMLᵇ cap. O 10, 12

## II¹1623 / K cap. O 6, 12

Ἐκ τοῦ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως·

Ῥᾷστον ἑαυτὸν ἀπατᾶν καὶ οἴεσθαι *εἶναί τι, οὐδὲν ὄντα*, ὑπὸ τῆς κενῆς δόξης φυσώμενον.

## II¹1624 / K cap. O 6, 13

Ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Εἶναι, οὐ δοκεῖν χρή.

---

**7 – 8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 34.12./11. (ed. Ihm, p. 668)
**7** εἶναί – ὄντα] Gal. 6, 3

---

**3 II¹1622** GREGORIUS NAZIANZENUS, *Apologetica (Orat. 2)*, 51, 2–3 (ed. Bernardi, p. 158) **7 – 8 II¹1623** GREGORIUS NAZIANZENUS, *De seipso et ad eos qui ipsum cathedram Constantinopolitanam affectare dicebant (Orat. 36)*, 1, 14–15 (ed. Moreschini, p. 240–242) **11 II¹1624** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 60, 23 (ed. Bernardi, p. 256)

---

**2 – 3 II¹1622** K cap. O 6, 11 (219v[10]11–12); *deest in* V Hᴵ **5 – 8 II¹1623** K cap. O 6, 12 (219v[12–13]14–15); V cap. O 6, 8; *deest in* Hᴵ; PG 96, 216, 41–42 **10 – 11 II¹1624** K cap. O 6, 13 (219v[16]17); *deest in* V Hᴵ

---

**II¹1623** (a) K (b) *s. a.* V

---

**8** φυσόμενον V

## II$^{1}$1625 / K cap. O 6, 14

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ β′ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Οὐκ ἐν τῷ λέγειν, ἀλλ' ἐν τῷ εἶναι ὁ κρείττων δείκνυσθαι ὀφείλει.

## II$^{1}$1626 / K cap. O 6, 15

Τοῦ μακαρίου Κυρίλλου, ἐκ τοῦ ια′ λόγου τῶν κατὰ Ἰουλιανοῦ·

Ἀληθὲς εἰπεῖν ὡς *ὁ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ ἀλαζὼν οὐδὲν μὴ περάνῃ*, κατὰ τὴν τοῦ προφήτου φωνήν· οἴησις γὰρ προκοπῆς ἐκκοπή, κατὰ τὸν κοινὸν καὶ ἐν στόματι τῶν πολλῶν ὄντα λόγον.

## II$^{1}$1627 / K cap. O 6, 16

Ἐκ τοῦ αὐτοῦ·

Οἴησις προκοπῆς ἐκκοπή. Τὸν μὲν γὰρ ὁμολογοῦντα τὴν ἄγνοιαν, ῥᾶον ἄν τις ἐπιστήσειεν τοῖς οὔπω διεγνωσμένοις. Τόν γε μὴν ἐν δοκήσει τοῦ εἰδέναι καὶ λημματίαν, ἄσοφόν τε καὶ ἀμαθῆ πάντη

---

**7 – 8** Hab. 2, 5 **13** Οἴησις – ἐκκοπή] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 34.25./20. (ed. Ihm, p. 672–673)

---

**4 II$^{1}$1625** Irenaeus Lugdunensis, *Adversus haereses*, II, 30, 36–38 (Fr. gr. 7) (ed. Rousseau/Doutreleau, p. 305); Holl, n° 142 **7 – 10 II$^{1}$1626** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XI (?) (fr. 1, ed. Kinzig/Brüggemann, p. 761) **13 – 900, 2 II$^{1}$1627** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XI (?) (fr. 2, ed. Kinzig/Brüggemann, p. 761)

---

**2 – 4 II$^{1}$1625** K cap. O 6, 14 (219v[17–18]19–20); *deest in* V H$^{I}$ **6 – 10 II$^{1}$1626** K cap. O 6, 15 (219v[20–21]22–220r2); *deest in* V H$^{I}$; PG 86, 2088, 15–21 **12 – 900, 2 II$^{1}$1627** K cap. O 6, 16 (220r[2]3–9); *deest in* V H$^{I}$; PG 86, 2088, 22–28

---

**II$^{1}$1625** εἰρηνέου K

---

**4** δείκνυσθαι] *correx. Holl*, δεικνῦσθαι K **8** περάνῃ] *correx. Aubert (LXX)*, πέραν ἢ K **14** Τόν γε] *tacite correx. Aubert*, τῶι γε K **15** λημματίαν] *scripsi*, λιματίαν K *(*ζ<ή>τ<ει> *in mg.), tacite delev. Mai*

τε καὶ πάντως ἀποτελεῖ τὸ εἰδέναι δοκεῖν· οὐ γάρ τοι προσίεται τοὺς τῶν διδασκόντων λόγους.

## II[1]1628 / K cap. O 6, 17

Ἐκ τῶν αὐτῶν·

Εἰσί τινες – πλεῖστοι δὲ οὗτοι κατὰ τὸν βίον –, οἳ τὸ σφίσιν αὐτοῖς <δοκοῦν> εὖ ἔχειν ὑπειλη<μ>μένοι, ἀβασανίστως κρατύνουσιν, οἴονται δὲ ὅτι πάντη τε καὶ πάντως σοφὰ λαλοῦσι καὶ ἀναμφίβλητα. Πλὴν μέχρι τοσούτου τὴν τοῦ δοκεῖν εἶναι σοφοὶ καὶ ἀγχίνοοι κλέπτουσι δόξαν, ἄχρις ἂν αὐτοῖς ὁ πρὸς τῶν ἑτερογνωμονούντων ὑπαντήσῃ λόγος, γοργοτέροις ἐλέγχοις ἀντανιστάμενος.

## II[1]1629 / K cap. O 6, 18

Τοῦ ἁγίου Ἰουστίνου, ἐκ τῆς πρὸς Ζηνᾶ καὶ Σερῆνον ἐπιστολῆς·

Τῷ κατὰ τὴν ἑαυτοῦ φαντασίαν φρονίμῳ δόξαντι εἶναι, πολὺ τὸ τῆς ἀτιμίας προ<σ>γραφήσεται.

---

**5 – 11 II[1]1628** CYRILLUS ALEXANDRINUS, *Contra Iulianum imperatorem*, XVIII (?) (quod attinet ad numerum libri, vide infra, II[1]2213 / K cap. Φ 3, 16) (fr. 56, ed. Kinzig/Brüggemann, p. 803) **14 – 15 II[1]1629** PS.-IUSTINUS MARTYR, *Epistula ad Zenam et Serenum*, 8, 7–8 (ed. Otto, p. 80); Holl, n° 103

---

**4 – 11 II[1]1628** K cap. O 6, 17 (220r[9]10–18); *deest in* V H[I]; PG 86, 2088, 30–37 **13 – 15 II[1]1629** K cap. O 6, 18 (220r[18–19]20–22); *deest in* V H[I]

---

**II[1]1629** Σερῆνον] *scripsi*, σιρήνῳ K

---

**6** δοκοῦν] *supplev. Aubert*, *om.* K ὑπειλημμένοι] *scrips. Mai*, ὑπειλημένοι K **15** προσγραφήσεται] *scripsi (ed.)*, προγραφήσεται K

## II[1]1630 / K cap. O 6, 19

Ἰσιδώρου Πηλουσιώτου, ἐκ τῆς ,αχλγʹ ἐπιστολῆς·

Τὸ ἄδοξα πράττοντα ἔνδοξον δοκεῖν εἶναι, πολλοῖς μὲν εὐκταῖον, σοφοῖς δὲ οὐκ ἐράσμιον. Ἡ γὰρ ἔξωθεν δόξα τὴν ἔνδοθεν ἀδοξίαν νευροῖ, καὶ τὸ δοκεῖν ὑγιαίνειν, τοῦ ὄντως ὑγιαίνειν φαντασίαν ἐμποιοῦν, οὐδὲ θεραπείαν προσίεσθαι συγχωρεῖ.

## II[1]1631 / K cap. O 6, 20

Φίλωνος, ἐκ τοῦ γʹ τῶν ἐν Γενέσει ζητημάτων·

Οἴησις, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἔστιν ἐκκοπὴ προκοπῆς· ὁ γὰρ κατοιόμενος βελτίωσιν οὐκ ἀνέχεται.

## II[1]1632 / K cap. O 6, 21

Ἐκ τοῦ αʹ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Οἴησις ἀκάθαρτον φύσει.

## <II[1]suppl. 363 / V cap. O 6, 11V[W]>

---

**14 II[1]suppl. 363 / V[W] cap. O 6, 11** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 6 II[1]1630** Isidorus Pelusiota, *Epistulae*, 1633 (ed. Évieux, II, p. 368) **9 – 10 II[1]1631** Philo Iudaeus, *Quaestiones in Genesim*, III. 48 (ed. Petit, p. 143) **13 II[1]1632** Philo Iudaeus, *Legum allegoriae*, I, 52 (ed. Cohn, p. 74, 6)

---

**2 – 6 II[1]1630** K cap. O 6, 19 (220r[22–23]24–220v5); *deest in* V H[I] **8 – 10 II[1]1631** K cap. O 6, 20 (220v[5–6]7–9); V cap. O 6, 9; *deest in* H[I]; PG 96, 216, 43–45 **12 – 13 II[1]1632** K cap. O 6, 21 (220v[9]10); V cap. O 6, 10; *deest in* H[I]; PG 86, 2088, 38–39; PG 96, 216, 46

---

**II[1]1631** (a) K (b) Φίλωνος V[W] (c) *s. a.* V[E]V[O] **II[1]1632** (a) K (b) *s. a.* V

---

**3** εὐκταῖον] *correxi (ed.)*, φευκταῖον K **4** ἔνδοθεν] *correxi (ed. in app. crit.)*, ἔνδον *ed.*, ἔνδοξον K **9** Οἴησις] *om.* V[W] λόγος, ἔστιν] λόγος ἐστὶν (-ὶ V[O]) V[E]V[O], λόγος ἐστιν V[W] **10** κατοιόμενος] κατοιομένως V[E]V[O], κατοιώμενος V[W] **13** φύσει] φύσει ἐστίν V[E]V[O], φυσᾶι K

## II[1]1633 / K cap. O 6, 22

Ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Χαλεπόν, ὅταν μὴ μόνον ἀνεπιστημοσύνῃ τίς συνέχεται, ἀλλὰ καὶ οἴεται εἰδέναι ἃ μηδαμῶς οἶδεν, δόξῃ ψευδεῖ σοφίας ἐπαιρόμενος.

---

**3 – 4 II[1]1633** PHILO IUDAEUS, re vera *De ebrietate I*, 162 (ed. Wendland, p. 201, 10–11)

---

**2 – 4 II[1]1633** K cap. O 6, 22 (220v[10]11–13); *deest in* V H[I]

---

**3** ἀνεπιστημοσύνῃ] *scripsi (ed.)*, ἀνεπιστημοσύνη K **4** οἶδεν] *correxi (ed.)*, εἶδεν K

## Τίτλος ζʹ  Περὶ ὀνόματος χρηστοῦ καὶ χάριν ἔχοντος.

**III / par. 33[34] A**

### II$^{1}$1634 / K cap. O 7, 1

Γενέσεως·

Ἦν κύριος μετὰ Ἰωσὴφ καὶ κατέχεεν αὐτῷ ἔλεος καὶ χάριν ἔναντι τοῦ ἀρχιδεσμοφύλακος.

### II$^{1}$1635 / K cap. O 7, 2

Τῶν Παροιμιῶν·

Δύο αἰτοῦμαι παρὰ σοῦ,
μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με·
μάταιον λόγον καὶ ψευδῆ μακρὰν ποίησον ἀπʼ ἐμοῦ.

### II$^{1}$1636 / K cap. O 7, 3

Τοῦ αὐτοῦ·

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς,
ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.

---

**4 – 5 II$^{1}$1634** Gen. 39, 21 **8 – 10 II$^{1}$1635** Prov. 30, 7$^{1}$–8$^{1}$ (Wahl, *Proverbien-Text*, p. 115–116) **13 – 14 II$^{1}$1636** Prov. 22, 1$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 104)

---

**1 Titlos** K (220v13–14) **3 – 5 II$^{1}$1634** K cap. O 7, 1 (220v[14]15–16) **7 – 10 II$^{1}$1635** K cap. O 7, 2 (220v[16]17–19) **12 – 14 II$^{1}$1636** K cap. O 7, 3 (220v[19] 20–21); V cap. O 5, 1; P cap. O 15, 1; E cap. 167, 1; L$^{c}$ cap. O 9, 1; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 213, 46–47

---

**1 Titlos** ζʹ] ςʹ K$^{pin}$ *(ζʹ secund. ser.)* χρηστοῦ] *scripsi secund.* K$^{pin}$, χριστοῦ K$^{txt}$ καὶ – ἔχοντος] *om.* K$^{pin}$

---

**II$^{1}$1634** Γενέσεως] *scripsi*, κτίσεως K **II$^{1}$1636** (a) K (b) Παροιμιῶν V P E L$^{c}$

---

**13** Αἱρετώτερον] *add.* ἐστὶν V$^{O\ a.c.}$ **14** ὑπὲρ – ἀγαθή] *om.* E

## II$^{1}$1637 / K cap. O 7, 4

Τοῦ Ἐκκλησιαστοῦ·

Ἀγαθὸν ὄνομα καλὸν ὑπὲρ ἔλαιον ἀγαθόν.

## II$^{1}$1638 / K cap. O 7, 5

Τοῦ Σιράχ·

Φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι παραμένει ἢ χίλιοι μέταλλοι θησαυροῦ.

## II$^{1}$1639 / K cap. O 7, 6

Καὶ πάλιν·

Χάρις ὡς παράδεισος ἐν εὐλογίαις.

---

**3 II$^{1}$1637** Eccle. 7, 1$^{1}$ (Wahl, *Kohelet-Text*, p. 159–160) **6 – 7 II$^{1}$1638** Sir. 41, 12$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 161) **10 II$^{1}$1639** Sir. 40, 17$^{1}$ (Wahl, *Sirach-Text*, p. 158)

---

**2 – 3 II$^{1}$1637** K cap. O 7, 4 (220v[mg]22); V cap. O 5, 2; P cap. O 15, 2; E cap. 167, 2; L$^{c}$ cap. O 9, 2; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 213, 48 **5 – 7 II$^{1}$1638** K cap. O 7, 5 (220v[22]23-24); V cap. O 5, 3; P cap. O 15, 3; E cap. 167, 3; L$^{c}$ cap. O 9, 3; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 213, 49–50 **9 – 10 II$^{1}$1639** K cap. O 7, 6 (220v[24]221r1); V cap. O 5, 4; P cap. O 15, 4; L$^{c}$ cap. O 9, 4; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ E; PG 96, 213, 51

---

**II$^{1}$1637** Τοῦ] *om.* V E **II$^{1}$1638** (a) K (b) *s. a.* V$^{E}$V$^{O}$ E (c) *s. d.* V$^{W}$ P L$^{c}$ **II$^{1}$1639** (a) K (b) *s. a.* V$^{E}$V$^{O}$ (c) *s. d.* V$^{W}$ P L$^{c}$

---

**3** καλὸν] *om.* V P E L$^{c}$ ἔλεον *(*ε- P*)* K V$^{W\ e\ corr.}$ P L$^{c}$ ἀγαθόν] *add.* ἀγαθὸν ὄνομα εἰς τὸν αἰῶνα μένει *(= Sir. 41, 13$^{2}$, cf.* II$^{1}$1640 / K cap. O 7, 7*)* E **6** γάρ σοι] δέ σοι V$^{W}$ L$^{c}$, δε σοι P παραμένει] παραμενεῖ V$^{W}$ E L$^{c}$ **7** μέταλοι V, μεγάλοι E θησαυροί E **10** ἐν] *om.* V$^{W}$ P L$^{c}$

## II¹1640 / K cap. O 7, 7

Τοῦ αὐτοῦ·

Ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν,
καὶ ἀγαθὸν ὄνομα εἰς τὸν αἰῶνα διαμένει.

**3 – 4 II¹1640** Sir. 41, 13¹⁻² (Wahl, *Sirach-Text*, p. 161)

**2 – 4 II¹1640** K cap. O 7, 7 (221r[1]2–3); V cap. O 5, 5; P cap. O 15, 5; Lᶜ cap. O 9, 5; *deest in* Hᴵ M⁽ˡᵃᶜ·⁾ Lᵇ E; PG 96, 216, 1–2

**II¹1640** (a) K R (b) *s. a.* Vᴱ Vᴼ Lᶜ (c) *s. d.* Vᵂ P

**4** μένει Vᵂ P Lᶜ

*II$^2$ / R cap. O 15

## **Τίτλος η′ Περὶ ὀφθαλμοῦ.**

## **η′ Περὶ ὀφθαλμοῦ.**

*II$^2$2160 / R cap. O 15, 2

### **II$^1$1641 / K cap. O 8, 1**

Τῶν Παροιμιῶν·

Θεωρῶν ὀφθαλμὸς καλά, εὐφραίνει καρδίαν.

*II$^2$2159 / R cap. O 15, 1

### **II$^1$1642 / K cap. O 8, 2**

Τῶν αὐτῶν·

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν,
τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.

*II$^2$2161 / R cap. O 15, 3

### **II$^1$1643 / K cap. O 8, 3**

Ἀπὸ τοῦ Σιράχ·

Πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται;
Διατοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.

---

**5 II$^1$1641** Prov. 15, 30$^1$ (Wahl, *Proverbien-Text*, p. 80) **8 – 9 II$^1$1642** Prov. 4, 25$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 33–34) **12 – 13 II$^1$1643** Sir. 34, 13$^{2-3}$ (Wahl, *Sirach-Text*, p. 138–139)

---

**1 Titlos (a)** K (221r3–4) **2 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **4 – 5 II$^1$1641** K cap. O 8, 1 (221r[4]5); V cap. O 8, 1; *deest in* H$^I$; PG 96, 217, 20 **7 – 9 II$^1$1642** K cap. O 8, 2 (221r[5]6–7); V cap. O 8, 2; *deest in* H$^I$; PG 96, 217, 21–22 **11 – 13 II$^1$1643** K cap. O 8, 3 (221r[7]8–9); V cap. O 8, 3; *deest in* H$^I$; PG 96, 217, 23–24

---

**1 Titlos (a)** Τίτλος η′] *om.* K$^{pin}$ (η′ *secund. ser.)* **2 Titlos (b)** η′] *praem.* τίτλος V$^{W\ txt}$ ὀφθαλμοῦ] ὀφθαλμῶν V$^{E\ txt}$ V$^{O\ txt}$ A$^{I\ pin}$

---

**II$^1$1641** Τῶν] *om.* V **II$^1$1642** (a) K (b) *s. a.* V **II$^1$1643** (a) K (b) Σιράχ V

---

**8** βλεπέτω K **9** δὲ] *s. l.* V$^E$ **12** ἔκτησται V$^{W\ a.\ c.}$, κέκτησται V$^{W\ p.\ c.}$ **13** δακρύσει V$^E$V$^O$

## II$^1$1644 / K cap. O 8, 4

Τοῦ αὐτοῦ·

Ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ᾽ ἄρτῳ
καὶ ἐλλειπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ.

## II$^1$1645 / K cap. O 8, 5 ***II$^2$2162 / R cap. O 15, 4**

Τοῦ αὐτοῦ·

Κύριε, πάτερ καὶ θεὲ ζωῆς μου,
μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μου.

## II$^1$1646 / K cap. O 8, 6

Τοῦ αὐτοῦ·

Ὀπίσω ἀναιδῶν ὀφθαλμῶν φύλαξαι.

---

**3 – 4 II$^1$1644** Sir. 14, 10$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 86) **7 – 8 II$^1$1645** Sir. 23, 4$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 109) **11 II$^1$1646** Sir. 26, 11$^1$ (Wahl, *Sirach-Text*, p. 116)

---

**2 – 4 II$^1$1644** K cap. O 8, 4 (221r[9]10–11); V cap. O 8, 4; P cap. O 12, 5; L$^c$ cap. O 18, 5; *deest in* H$^I$; PG 96, 217, 25–26 **6 – 8 II$^1$1645** K cap. O 8, 5 (221r[11]12–13); V cap. O 8, 5; *deest in* H$^I$; PG 96, 217, 27–28 **10 – 11 II$^1$1646** K cap. O 8, 6 (221r [13]14); V cap. O 8, 6; P cap. O 12, 7; L$^c$ cap. O 18, 7; *deest in* H$^I$; PG 96, 217, 29

---

**II$^1$1644** (a) K P (b) *s. a.* V L$^c$ **II$^1$1645** (a) K (b) *s. a.* V **II$^1$1646** (a) K (b) *s. a.* V$^W$ P L$^c$ (c) *s. d.* V$^E$V$^O$

---

**3** φθονειρος P **4** καὶ ἐλλειπὴς] *om.* V$^W$ P L$^c$ ἐλλειπὴς] *sic* K **7 – 8** Κύριε – ὀφθαλμῶν] *cum loco sequenti coniunguntur in* V$^E$V$^O$ **7** πάτερ] παντοκράτορ K **8** ὀφθαλμοῦ K μὴ δῷς μου] μή μοι δῶς V$^W$, *om.* V$^E$V$^O$ **11** Ὀπίσω – ὀφθαλμῶν] *om.* V$^E$V$^O$ ἀναιδῶν] *post* ὀφθαλμῶν *transpos.* K φύλαξαι] φύλαξον V *(quod verbum cum loco praecedenti coniungitur)*

***II$^{2}$2161 / R cap. O 15, 3**

## II$^{1}$1647 / K cap. O 8, 7

Τοῦ αὐτοῦ·

Μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός.

***II$^{2}$2163 / R cap. O 15, 5**

## II$^{1}$1648 / K cap. O 8, 8

Ματθαίου εὐαγγελιστοῦ·

Ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός. Ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πόσον.

## II$^{1}$1649 / K cap. O 8, 9

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Οὔτε ὄψις ῥαδίως ἀναχωρεῖν φιλεῖ τῶν τερπνῶν θεαμάτων – κἂν γὰρ ἀφέλῃ τις βίᾳ, πρὸς αὐτὰ πάλιν φέρεται –, οὔτε λόγος τῶν ἡδίστων διηγημάτων.

---

**3 II$^{1}$1647** Sir. 34, 13$^{1}$ (Wahl, *Sirach-Text*, p. 138–139) **6 – 9 II$^{1}$1648** Matth. 6, 22–23 **12 – 14 II$^{1}$1649** Gregorius Nazianzenus, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 14, 22–25 (ed. Bernardi, p. 148)

---

**2 – 3 II$^{1}$1647** K cap. O 8, 7 (221r[14]15); V cap. O 8, 7; P cap. O 12, 8; L$^{c}$ cap. O 18, 8; *deest in* H$^{I}$; PG 96, 217, 29–30 **5 – 9 II$^{1}$1648** K cap. O 8, 8 (221r[15]16–20); V cap. O 8, 8; *deest in* H$^{I}$; PG 96, 217, 31–34 **11 – 14 II$^{1}$1649** K cap. O 8, 9 (221r[21]22–221v1); *deest in* V H$^{I}$

---

**II$^{1}$1647** (a) K P (b) *s. a.* V L$^{c}$ **II$^{1}$1648** (a) K (b) Ματθαίου V$^{E}$V$^{O}$ (c) Εὐαγγελίου V$^{W}$

---

**3** ὅτι] ὃ L$^{c}$ **7** ᾖ] εἶ V$^{W}$ φωτεινὸν ἔσται] -τει- *e corr.* V$^{W}$, φωτινὸν ἔσται V$^{E\ p.\ c.}$ V$^{O}$, φωτινόν ἐσται V$^{E\ a.\ c.}$, φωτεινόν ἐστιν K **8 – 9** Εἰ – πόσον] *om.* V **13** ἀφέλῃ] ἀφέληι K *(cf.* *II$^{2}$700 / T cap. Γ 2, 12*)*, ἀφέλκῃ *ed.* βίᾳ] *scripsi (ed.)*, βία K φέρεσθαι *ed.*

## II[1]1650 / K cap. O 8, 10

*II[2]2164 / R cap. O 15, 6

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Κυπριανὸν τὸν ἅγιον·

Ψαύουσιν ὀφθαλμοὶ λίχνοι καὶ τῶν ἀψαύστων, τὸ προχειρότατον ὄργανον καὶ ἀπληστότατον.

## II[1]1651 / K cap. O 8, 11

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τοῦ εἰς τὸν ἐπίσκοπον Φλαβιανόν·

Τροφὴ ὀφθαλμῶν θεωρία.

## II[1]1652 / K cap. O 8, 12

Κλήμεντος, ἐκ τοῦ α′ Στρώματος·

Πάντες μὲν ὅσοι ταῖς ὄψεσι κεχρήμεθα, θεωροῦμεν τὰ ὑποπίπτοντα αὐταῖς, ἄλλοι δὲ ἄλλων ἕνεκα.

## II[1]1653 / K cap. O 8, 13

Εὐσεβίου, ἐκ τοῦ δ′ τῆς α′ εἰσαγωγῆς·

Ὃν τρόπον ἡ τῶν ὀφθαλμῶν φύσις ἔχει μὲν ἐν ἑαυτῇ τὴν ὁρατικὴν δύναμιν, οὐχ᾽ ἱκανὴ δὲ καθ᾽ ἑαυτὴν πέφυκεν πρὸς τὴν τῶν ὁρατικῶν κατάληψιν, μὴ οὐχὶ ἑτέρου τινὸς ἔξωθεν φωτίζοντος καὶ συνυπουργοῦντος τῇ τῶν ὀφθαλμῶν χρήσει καὶ τῷ συμβαλ-

---

**3 – 4 II[1]1650** GREGORIUS NAZIANZENUS, *In laudem Cypriani (Orat. 24)*, 9, 19–21 (ed. Mossay/Lafontaine, p. 56) **7 II[1]1651** IOHANNES CHRYSOSTOMUS, *Ad populum Antiochenum*, III *(In profectionem episcopi Flaviani)*, 4 (PG 49, 53, 24–25) **10 – 11 II[1]1652** CLEMENS ALEXANDRINUS, *Stromata*, I. Cap. I. 17, 1 (ed. Stählin/Früchtel/Treu, p. 12, 13–14) **14 – 910, 2 II[1]1653** EUSEBIUS CAESARIENSIS, *Generalis elementaria introductio*, I, 4, locus non repertus; Holl, n° 471

---

**2 – 4 II[1]1650** K cap. O 8, 10 (221v[1]2–3); *deest in* V H[I] **6 – 7 II[1]1651** K cap. O 8, 11 (221v[4]5); *deest in* V H[I] **9 – 11 II[1]1652** K cap. O 8, 12 (221v[5]6–8); *deest in* V H[I] **13 – 910, 2 II[1]1653** K cap. O 8, 13 (221v[8]9–16); *deest in* V H[I]; PG 86, 2076, 44–52

λομένῳ φωτὶ πρὸς τὴν τῶν αἰσθητῶν θέαν, οὕτως καὶ ἡ νοερὰ καὶ λογικὴ φύσις ἔχει πρὸς τὸν ἱερὸν τοῦ θεοῦ λόγον.

## II$^{1}$1654 / K cap. O 8, 14

Φίλωνος, ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ὅρασις παρὰ τὰς ἄλλας αἰσθήσεις καὶ ταύτῃ διαφέρει ὅτι αἱ μὲν ἄλλαι τοῖς αἰσθητοῖς ἐγκαταμίγνυνται, οἷον ἡ γεῦσις ἀνακιρνᾶται τοῖς χυμοῖς, καὶ ἡ ὄσφρησις τοῖς ἐπαναδιδομένοις ἀτμοῖς, καὶ αἱ ἀκοαὶ ταῖς φωναῖς, εἰσδυομέναις εἰς τὰ ὦτα. Ἐπὶ δὲ τῆς ὁράσεως τὸ παραπλήσιον οὐ γίνεται· οὔτε γὰρ αὐτὴ διὰ τοῦ βάθους τῶν σωμάτων χωρεῖ, ψαύει δὲ τῶν ἐπιφανειῶν, <καὶ> αὐτὸ μόνον κατὰ τὴν προσβολήν, οὔτε τὰ σώματα εἰς τὴν ὄψιν εἰσδύεται.

---

**5 – 11 II$^{1}$1654** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 298–299.21); Royse 176.59

---

**4 – 11 II$^{1}$1654** K cap. O 8, 14 (221v[17]18–222r3); *deest in* V H$^{I}$; PG 86, 2100, 10–19

---

**5** αἱ] *s. l.* K **8** εἰσδυομέναις] *correxi (ut propos. Petit in app. crit.)*, ἐκδυομέναις *(-δυο- e corr.)* K **10** ἐπιφανειῶν] *scrips. Petit*, ἐπιφανίων K καὶ] *supplevi*, *om.* K αὐτὸ] *tacite delev. Mai*

**Τίτλος θʹ Περὶ οἴνου καὶ χρήσεως αὐτοῦ.** ***II$^{2}$ / R cap. O 12**

**ζʹ Περὶ οἴνου καὶ τῆς χρήσεως αὐτοῦ.**

## II$^{1}$1655 / K cap. O 9, 1

Τῆς Γενέσεως·

Ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα. Καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

## II$^{1}$1656 / K cap. O 9, 2

***II$^{2}$2122 / R cap. O 12, 1**

Δαυῒδ ἐν ψαλμῷ ργʹ·

Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

## II$^{1}$1657 / K cap. O 9, 3

Τῶν Παροιμιῶν·

Ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη,
πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

---

**5 – 7 II$^{1}$1655** Gen. 9, 20–21 **10 II$^{1}$1656** Ps. 103, 15$^{1}$ **13 II$^{1}$1657** Ἀκόλαστον – μέθη] Prov. 20, 1$^{1}$ (Wahl, *Proverbien-Text*, p. 96) **14** πᾶς – συμπλέκεται] Ibid. 20, 3$^{2}$ (Wahl, p. 97)

---

**1 Titlos (a)** K (222r3) **2 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$ **4 – 7 II$^{1}$1655** K cap. O 9, 1 (222r[mg]4–6); *deest in* V H$^{\text{I}}$ **9 – 10 II$^{1}$1656** K cap. O 9, 2 (222r[6]7); V cap. O 7, 1; *deest in* H$^{\text{I}}$; PG 96, 216, 48 **12 – 14 II$^{1}$1657** K cap. O 9, 3 (222r[7]8–9); V cap. O 7, 2; P cap. O 9, 11; E cap. 164, 4; L$^{\text{c}}$ cap. O 7, 12; *deest in* H$^{\text{I}}$; PG 96, 216, 49–50

---

**1 Titlos (a)** Τίτλος – αὐτοῦ] *om.* K$^{\text{pin}}$ **2 Titlos (b)** ζʹ] *propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(ζʹ secund. ser.), praem.* τίτλος V$^{\text{W txt}}$ τῆς] *om.* V$^{\text{E txt}}$

---

**II$^{1}$1655** Γενέσεως] *scripsi*, κτίσεως K **II$^{1}$1656** (a) K (b) Δαυῒδ V$^{\text{E}}$V$^{\text{W}}$ (c) *s. a.* V$^{\text{O}}$
**II$^{1}$1657** (a) K V P L$^{\text{c}}$ Τῶν] *om.* V P L$^{\text{c}}$ (b) *s. a.* E

---

**14** τούτοις E ἐμπλέκεται E L$^{\text{c}}$

***II$^{2}$2123 / R cap. O 12, 2**

## II$^{1}$1658 / K cap. O 9, 4

Τῶν αὐτῶν·

Δότε μέθην τοῖς ἐν λύπαις,
καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις,
ἵνα ἐπιλάθωνται τῆς πενίας,
καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι.

## II$^{1}$1659 / K cap. O 9, 5

Τοῦ Ἐκκλησιαστοῦ·

Οἶνος εὐφραίνει ζῶντας.

## II$^{1}$1660 / K cap. O 9, 6

Τοῦ Σιράχ·

Οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς.

---

**12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 68.-./39.6d. (ed. Ihm, p. 995)

---

**3 – 6 II$^{1}$1658** Prov. 31, 6$^{1}$–7$^{2}$ (Wahl, *Proverbien-Text*, p. 122) **9 II$^{1}$1659** Eccle. 10, 19$^{2}$ (Wahl, *Kohelet-Text*, p. 171) **12 II$^{1}$1660** Sir. 19, 2$^{1}$ (Wahl, *Sirach-Text*, p. 97)

---

**2 – 6 II$^{1}$1658** K cap. O 9, 4 (222r[9]10 – 12); V cap. O 7, 3; *deest in* H$^{I}$; PG 96, 216, 51 – 217, 2 **8 – 9 II$^{1}$1659** K cap. O 9, 5 (222r[12]13); *deest in* V H$^{I}$ **11 – 12 II$^{1}$1660** K cap. O 9, 6 (222r[13]14); V cap. O 7, 4; P cap. O 9, 12; E cap. 164, 5; L$^{c}$ cap. O 7, 13; *deest in* H$^{I}$; PG 96, 217, 3

---

**II$^{1}$1658** (a) K (b) *s. a.* V **II$^{1}$1660** (a) K V$^{W}$ P Τοῦ] *om.* V$^{W}$ P (b) *s. a.* V$^{E}$V$^{O}$ E L$^{c}$

---

**3** μέθην] οἶνον V$^{E}$V$^{O}$ **4** οἶνον πίνειν] *om.* V$^{E}$V$^{O}$ ὀδύναις] *add.* οὖσι V$^{E}$V$^{O}$ **5** ἵνα] *add.* πιόντες K ἐπιλάθονται V$^{E}$V$^{O}$ **6** τῶν] τῶ V$^{O}$ μὴ] *praem.* οὐ K ἔτι] *om.* K **12** ἀποστήσουσϊν ἀσυνετούς L$^{c}$

## II$^{1}$1661 / K cap. O 9, 7

*II$^{2}$2125 / R cap. O 12, 4

Τοῦ αὐτοῦ·

Ἐν οἴνῳ μὴ ἀνδρίζου·
πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος.

## II$^{1}$1662 / K cap. O 9, 8

Τοῦ αὐτοῦ·

Οἶνος εἰς εὐφροσύνην καὶ οὐκ εἰς μέθην ἐκτίσθη ἀπ᾽ ἀρχῆς.

## II$^{1}$1663 / K cap. O 9, 9

*II$^{2}$2126 / R cap. O 12, 5

Τοῦ αὐτοῦ·

Ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς
οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης.

---

**3 – 4 II$^{1}$1661** Sir. 34, 25$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 140) **7 II$^{1}$1662** Sir. 34, 27$^{4}$ (Wahl, *Sirach-Text*, p. 140) **10 – 11 II$^{1}$1663** Sir. 34, 28$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 140)

---

**2 – 4 II$^{1}$1661** K cap. O 9, 7 (222r[14]15); V cap. O 7, 5; L$^{c}$ cap. O 7, 1; *deest in* H$^{I}$; PG 96, 217, 4–5 **6 – 7 II$^{1}$1662** K cap. O 9, 8 (222r[15]16–17); V cap. O 7, 6; P cap. O 9, 13; L$^{c}$ cap. O 7, 14; *deest in* H$^{I}$; PG 96, 217, 5–6 **9 – 11 II$^{1}$1663** K cap. O 9, 9 (222r[17]18–19); V cap. O 7, 7; P cap. O 9, 14; L$^{c}$ cap. O 7, 15; *deest in* H$^{I}$; PG 96, 217, 6–7

---

**II$^{1}$1661** (a) K (b) Σιράχ L$^{c}$ (c) *s. a.* V **II$^{1}$1662** (a) K (b) Σιράχ L$^{c}$ (c) *s. a.* V P **II$^{1}$1663** (a) K P (b) *s. a.* V L$^{c}$

---

**4** γὰρ] *om.* V$^{W}$ *(in mg. supplev. man. rec.)* ὁ] *om.* V$^{W}$ **7** Οἶνος] *praem.* ὁ *(rubricator)* L$^{c}$ **10** Ἀγαλλίαμα – ψυχῆς] *cum loco sequenti coniunguntur in* V$^{W}$ P L$^{c}$ **11** οἶνος – αὐτάρκης] *om.* V$^{W}$ P L$^{c}$

***II$^2$2127 / R cap. O 12, 6**

## II$^1$1664 / K cap. O 9, 10

Τοῦ αὐτοῦ·

Πικρία ψυχῆς, οἶνος πινόμενος πολύς.

***II$^2$suppl. 21 / PML$^b$ cap. O 9, 4**

## II$^1$1665 / K cap. O 9, 11

Τοῦ αὐτοῦ·

Τίς ζωὴ ἐλαττουμένῳ οἴνου;
Καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην ἀνθρώποις.

## II$^1$1666 / K cap. O 9, 12

Λουκᾶ, ἐν κεφαλαίῳ <μʹ>·

Οὐδεὶς πιὼν παλαιὸν οἶνον θέλει νέον. Λέγει γάρ· Ὁ παλαιὸς χρηστότερός ἐστιν.

---

**3** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 27.-./16d. (ed. Ihm, p. 598)

---

**3 II$^1$1664** Sir. 34, 29$^1$ (Wahl, *Sirach-Text*, p. 141) **6 – 7 II$^1$1665** Sir. 34, 27$^{3-4}$ (Wahl, *Sirach-Text*, p. 140) **10 – 11 II$^1$1666** Luc. 5, 39

---

**2 – 3 II$^1$1664** K cap. O 9, 10 (222r[19]20); V cap. O 7, 8; P cap. O 9, 15; L$^c$ cap. O 7, 16; *deest in* H$^I$; PG 96, 217, 7 **5 – 7 II$^1$1665** K cap. O 9, 11 (222r[20]21–22); *deest in* V H$^I$ **9 – 11 II$^1$1666** K cap. O 9, 12 (222r[22]23–24); *deest in* V H$^I$

---

**II$^1$1664** (a) K (b) *s. a.* V$^E$V$^O$ (c) *s. d.* V$^W$ P L$^c$ **II$^1$1666** μʹ] *supplevi*, *om.* K

---

**3** Πικρία ψυχῆς] *om.* V$^W$ P L$^c$ οἶνος – πολύς] *cum loco praecedenti coniunguntur in* V$^W$ P L$^c$ πιννουμενος P πολοίς V$^E$, -οῖς V$^O$, μὴ πολῦς L$^c$ **6** Τίς ζωὴ] *correxi (LXX)*, τῇ ζωῆι *(sic)* K

## II$^{1}$1667 / K cap. O 9, 13

*II$^{2}$2129 / R cap. O 12, 8

Ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς·

Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία.

## II$^{1}$1668 / K cap. O 9, 14

*II$^{2}$2130 / R cap. O 12, 9

Ἐκ τῆς πρὸς Τιμόθεον·

Μηκέτι ὑδροπότει, ἀλλ᾽ οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

## II$^{1}$1669 / K cap. O 9, 15

*II$^{2}$2132 / R cap. O 12, 11

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ μέθης·

…οἶνος, τὸ παρὰ θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν…

---

**3** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 54.2./61.2. (ed. Ihm, p. 860)

---

**3 II$^{1}$1667** Eph. 5, 18 **6 – 7 II$^{1}$1668** I Tim. 5, 23 **10 – 11 II$^{1}$1669** Basilius Caesariensis, *In ebriosos*, 1 (PG 31, 448, 5–6)

---

**2 – 3 II$^{1}$1667** K cap. O 9, 13 (222r[24]222v1); V cap. O 7, 9; *deest in* H$^{I}$; PG 96, 217, 8 **5 – 7 II$^{1}$1668** K cap. O 9, 14 (222v[1]2–3); V cap. O 7, 10; *deest in* H$^{I}$; PG 96, 217, 9–10 **9 – 11 II$^{1}$1669** K cap. O 9, 15 (222v[4]5–6); V cap. O 7, 11; P cap. O 9, 16; L$^{c}$ cap. O 7, 17; *deest in* H$^{I}$; PG 96, 217, 11–12

---

**II$^{1}$1667** (a) K (b) Πρὸς Ἐφεσίους V$^{E}$V$^{O}$ (c) Ἀποστόλου V$^{W}$ **II$^{1}$1668** (a) K (b) Πρὸς Τιμόθεον V$^{E}$V$^{O}$ (c) Τοῦ αὐτοῦ V$^{W}$ **II$^{1}$1669** (a) K P (b) Βασιλείου V L$^{c}$ βασιλίου V$^{W}$

---

**3** μεθύσκεσθαι V$^{E}$V$^{O}$

*II²2133 / R cap. O 12, 12

## II¹1670 / K cap. O 9, 16

Ἐκ τοῦ περὶ νηστείας·

Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως ἡ χρεία τοῦ σώματος.

## II¹1671 / K cap. O 9, 17

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τῶν Ἐπῶν·

Οἶνος παρθενικῇσι χόλου πλέον ἐστὶν ὄνειδος.

*II²2134 / R cap. O 12, 13

## II¹1672 / K cap. O 9, 18

Εὐαγρίου·

Ῥώννυσι μὲν οἶνος τὸ σῶμα, τὴν δὲ ψυχὴν λόγος θεοῦ.

*II²2135 / R cap. O 12, 14

**1 Titlos (a)** K (235r13–14) **2 – 3 Titlos (b)** V A[I pin]; *deest in* H[I]A[I txt] **5 – 9 II[1]1802** K cap. Π 12, 1 (235r[14]15–18); V cap. Π 19, 1; P cap. Π 24, 9; E cap. 180, 8; L[c] cap. Π 3, 11; *deest in* H[I]; PG 96, 284, 33–36 **11 – 13 II[1]1803** K cap. Π 12, 2 (235r[18]19–20); V cap. Π 19, 2; P cap. Π 24, 10; E cap. 180, 9; L[c] cap. Π 3, 12; *deest in* H[I]; PG 96, 284, 37–38

---

**1 Titlos (a)** Τίτλος ιβʹ] ιαʹ K[pin] *(ιβʹ exspectav.)* **2 – 3 Titlos (b) 2** ιθʹ] *propt. mg. resect. non liquet in* A[I pin] (ιθʹ *secund. ser.), praem.* τίτλος V[W txt] καὶ[2]] *om.* V[E pin] V[W]V[O pin] ὅτι] *add.* οὐ V[O txt] **3** τοῖς] τοὺς V[O] πρὸς λαβοῦσιν V[E pin]

---

**II[1]1802** (a) K (b) Σιράχ V (c) Τοῦ αὐτοῦ P (d) *s. a.* E L[c] **II[1]1803** (a) K (b) *s. a.* V P E L[c]

---

**6** πλησίον] πλησίον σου K **8** διαμένει V[W] **9** τῇ] *om.* K αὐτων *(sic)* P **12** ἐνοίκησον *(-οι- P)* V P, νοίκϊσον *(rubricatoris vitio)* L[c]

## II¹1804 / K cap. Π 12, 3

Τοῦ αὐτοῦ·

Στέρξον τὸν πλησίον σου καὶ πιστώθητι μετ᾽ αὐτοῦ·
ἐὰν δὲ ἀποκαλύψῃς τὰ κρύφια αὐτοῦ,
οὐ μὴ πορευθῇς ὀπίσω αὐτοῦ.
Καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν νεκρὸν αὐτοῦ,
οὕτως ὁ ἀπολέσας τὴν φιλίαν τοῦ πλησίον·
καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπολύσας,
οὕτως ἀφῆκας τὸν πλησίον σου καὶ οὐ θηρεύσεις αὐτόν.

---

**3 – 9 II¹1804** Sir. 27, 17¹–19² (Wahl, *Sirach-Text*, p. 119–120)

---

**2 – 9 II¹1804** K cap. Π 12, 3 (235r[20]21–235v3); *deest in* V H^I

---

**8** ἀπολύσας] *scripsi (LXX in app. crit.)*, ἀπόλυσας K

**Τίτλος ιγʹ Περὶ παιδοποιΐας, καὶ ὅτι εὐλογία θεοῦ ἐστιν καὶ τιμία κατὰ τὸ ἀρχαῖον.**

### II¹1805 / K cap. Π 13, 1

Τῆς Γενέσεως·

Εἶπεν Σάρρα· Γέλωτά μοι ἐποίησε κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. Καὶ πάλιν εἶπεν Σάρρα· Τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ ὅτι παιδίον θηλάζει Σάρρα;

### II¹1806 / K cap. Π 13, 2

Τῆς αὐτῆς·

Ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ· Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. Ἐθυμώθη δὲ Ἰακὼβ τῇ Ῥαχήλ, καὶ εἶπεν αὐτῇ· Μὴ ἀντὶ θεοῦ ἐγὼ εἰμί, ὅς ἐστέρησέν σε καρπῶν κοιλίας;

### II¹1807 / K cap. Π 13, 3

Καὶ μετ᾽ ὀλίγα·

Ἐμνήσθη ὁ θεὸς τῆς Ῥαχήλ, καὶ ἐπήκουσεν αὐτῆς ὁ θεός, καὶ ἠνέωξεν αὐτῆς τὴν μήτραν, καὶ συλλαβοῦσα ἔτεκεν τῷ Ἰακὼβ υἱόν. Εἶπεν δὲ Ῥαχήλ· Ἀφεῖλέν μου ὁ θεὸς τὸ ὄνειδος. Καὶ ἐκάλεσε τὸ

---

**5 – 7 II¹1805** Gen. 21, 6–7 **10 – 13 II¹1806** Gen. 30, 1–2 **16 – 984, 2 II¹1807** Gen. 30, 22–24

---

**1 – 2 Titlos** K (235v3–5) **4 – 7 II¹1805** K cap. Π 13, 1 (235v[5]6–9) **9 – 13 II¹1806** K cap. Π 13, 2 (235v[9]10–15) **15 – 984, 2 II¹1807** K cap. Π 13, 3 (235v[15]16–21)

---

**1 – 2 Titlos 1** Τίτλος] *om.* K^pin

---

**II¹1805** Γενέσεως] *scripsi*, κτίσεως K

---

5 Γέλωτά μοι] *correxi (LXX)*, γέλωτά με K **5 – 6** συγχαρῆταί μοι K^p. c. in mg.

ὄνομα αὐτοῦ Ἰωσήφ, λέγουσα· Προσέθετο ὁ θεός μοι υἱὸν δεύτερον.

## II$^{1}$1808 / K cap. Π 13, 4

Τῆς Ἐξόδου·

Οὐκ ἔσται ἄγονος οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου.

## II$^{1}$1809 / K cap. Π 13, 5

Βασιλειῶν α′·

Ἐγενήθη ἡμέρα, καὶ ἔθυσεν Ἐλκανᾶ καὶ ἔδωκεν τῇ Φεννάνᾳ γυναικὶ αὐτοῦ καὶ τοῖς υἱοῖς αὐτῆς μερίδας, καὶ τῇ Ἄννῃ ἔδωκεν μερίδα μίαν, ὅτι οὐκ ἦν αὐτῇ παιδίον, πλὴν ὅτι τὴν Ἄνναν ἠγάπα Ἐλκανᾶ ὑπὲρ τὴν Φεννάναν, καὶ κύριος ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς. Καὶ παρώργιζεν αὐτὴν ἡ ἀντίζηλος αὐτῆς παροργισμῷ, διὰ τὸ ἐξουθενεῖν αὐτήν. Καὶ οὐκ ἔδωκεν αὐτῇ κύριος παιδίον κατὰ τὴν θλίψιν αὐτῆς καὶ κατὰ τὴν ἀθυμίαν τῆς ψυχῆς αὐτῆς, καὶ ἠθύμει διατοῦτο, ὅτι συνέκλεισε κύριος τὰ περὶ τὴν μήτραν αὐτῆς, τοῦ μὴ δοῦναι αὐτῇ παιδίον.

## II$^{1}$1810 / K cap. Π 13, 6

Βασιλειῶν δ′·

Εἶπεν Ἑλισσαιὲ πρὸς Γιεζεί· Τί δεῖ ποιῆσαι τῇ γυναικὶ ταύτῃ; Καὶ εἶπεν Γιεζεὶ τὸ παιδάριον· Καὶ μάλα οὐκ ἔστιν αὐτῇ υἱός, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. Καὶ εἶπεν Ἑλισσαιέ· Κάλεσον αὐτήν. Καὶ ἐλθοῦσα ἔστη παρὰ τὴν θύραν τοῦ οἴκου. Καὶ εἶπεν Ἑλισσαιὲ πρὸς αὐτήν· Εἰς τὸ μαρτύριον τοῦτο, κατὰ τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥ-

---

**5 II$^{1}$1808** Ex. 23, 26 **8 – 16 II$^{1}$1809** I Reg. 1, 4–6 (Wahl, *1 Samuel-Text*, p. 43) **19 – 985, 4 II$^{1}$1810** IV Reg. 4, 14–17 (Wahl, *4 Könige-Text*, p. 125–126)

---

**4 – 5 II$^{1}$1808** K cap. Π 13, 4 (235v[21]22) **7 – 16 II$^{1}$1809** K cap. Π 13, 5 (235v[23]24–236r11) **18 – 985, 4 II$^{1}$1810** K cap. Π 13, 6 (236r[mg]12–23)

---

**19** Ἑλισσαιὲ] *sic spir.* K

ρα αὕτη, ζῶσα σὺ καὶ περιειληφυῖα υἱόν. Ἡ δὲ εἶπεν· Μή, κύριε, ἄνθρωπε τοῦ θεοῦ, μὴ ἐγγελάσῃς τὴν δούλην σου. Καὶ συνέλαβεν καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα αὕτη, ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν Ἑλισσαιέ.

## II$^{1}$1811 / K cap. Π 13, 7

Δαυῒδ ἐν ψαλμῷ ρκς′·

Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοί.

## II$^{1}$1812 / K cap. Π 13, 8

Ἐν ψαλμῷ ρκζ′·

Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα
ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου·
οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν
κύκλῳ τῆς τραπέζης σου·
ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον.

## II$^{1}$1813 / K cap. Π 13, 9

Λουκᾶ, ἐν κεφαλαίῳ γ′·

Τῆς Ἐλισάβετ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν, καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.

---

**7 II$^{1}$1811** Ps. 126, $3^{1}$ **10 – 14 II$^{1}$1812** Ps. 127, $3^{1}$–4 **17 – 19 II$^{1}$1813** Luc. 1, 57–58

---

**6 – 7 II$^{1}$1811** K cap. Π 13, 7 (236r[23]24) **9 – 14 II$^{1}$1812** K cap. Π 13, 8 (236r[24] 236v1–4) **16 – 19 II$^{1}$1813** K cap. Π 13, 9 (236v[4]5–8)

---

**3** ἔτεκεν] *correxi (LXX)*, ἔτεκες K **11** τοῖς] *correxi (LXX)*, ταῖς K

## II$^{1}$1814 / K cap. Π 13, 10

Τοῦ Φίλωνος, ἐκ τοῦ περὶ μέθης·

Πῶς οὐκ ἔστιν ἀτοπώτατον γεηπόνους μέν, ὁπόταν πυροὺς ἢ κριθὰς μέλλοιεν εἰς τὰς ἀρούρας καταβαλέσθαι, νήφοντας ἐπὶ τὸν σπόρον χωρεῖν, προεξητακότας καιρῶν ἰδιότητας, χώρας ἐπιτηδειότητα, κατάστασιν ἀέρων, πνευμάτων διαφοράς, αὐξήσεις <τε καὶ> μειώσεις σελήνης – ἅπαντα γὰρ διερευνᾶν ἔθος οἷς τοῦ τελεσφορηθῆναι τὸν καρπὸν φροντὶς εἰσέρχεται –, τοὺς δὲ τὸ κάλλιστον οὐ φυτὸν μόνον, ἀλλὰ καὶ ζῷον, ἄνθρωπον, σπείρειν ἀξιοῦντας, ὀλιγωρίᾳ καὶ ῥαθυμίᾳ καὶ μέθῃ, κακίας συνεργάταις, κεχρῆσθαι; Οὓς ἐχρῆν ἐπὶ τὸν τοῦ θειοτάτου σπόρον ἰόντας Τριπτολέμου δίκην, εἰ καὶ μὴ τοῖς σώμασιν, ἀλλὰ ταῖς διανοίαις μετεωρίσαντας αὑτούς, ἀλογῆσαι μὲν ἡδονῶν, ἁγνεῦσαι δὲ τῶν περιγείων ἁπάντων, ἵνα τῷ ὄντι λογικῆς φύσεως ἐπάξιον τελεσθῇ τὸ δημιούργημα, ἐπειδὴ κακῶν δημιουργῶν ὑπαίτια ἐξ ἀνάγκης τὰ ἔργα.

## II$^{1}$1815 / K cap. Π 13, 11

Ἐκ τοῦ β′ τῶν ἐν Γενέσει ζητημάτων·

Ἀγονίαν καὶ στείρωσιν ἐν κατάραις τάττων Μωϋσῆς, οὔ φησιν ἔσεσθαι παρὰ τοῖς τὰ δίκαια καὶ νόμιμα δρῶσιν. Ἆθλον γὰρ τοῖς τὸ ἱερὸν γράμμα τοῦ νόμου φυλάττουσιν παρέχει τὸν ἀρχαιότε-

---

**19** Ἀγονίαν – Μωϋσῆς] cf. Ex. 23, 26

---

**3 – 16 II$^{1}$1814** PHILO IUDAEUS, *De ebrietate II*, Fr. 6 (ed. Wendland, p. 23–24); Royse 177.75 **19 – 987, 2 II$^{1}$1815** PHILO IUDAEUS, re vera *Quaestiones in Exodum*, II. 19 (ed. Petit, p. 255)

---

**2 – 16 II$^{1}$1814** K cap. Π 13, 10 (236v[8–mg]9–237r2) **18 – 987, 2 II$^{1}$1815** K cap. Π 13, 11 (237r[3]4–10); PG 86, 2089, 22–28

---

**3** γεηπόνους] *scripsi*, γηηπόνους K, γεωπόνους *Wendland* **5** προεξητακότας] *correx. Wendland*, προεξετακότας K **6 – 7** αὐξήσεις – μειώσεις] *correx. Wendland*, αὐξήσεις· σημειώσεις K **11 – 12** Τριπτολέμου] τριπτολαίμου K$^{p. c. in mg.}$ **13** αὑτούς] *scrips. Wendland*, αὐτοὺς K **15** ἐπειδὴ] ἐπεὶ K$^{a. c.}$ **19** Ἀγονίαν] *correx. Harris*, ἀγωνίαν K **20** νόμιμα] *scrips. Mai*, νόμημα K Ἆθλον] *sic acc.* K

ρον νόμον τῆς ἀθανάτου φύσεως, ὃς ἐπὶ σπορᾷ καὶ γενέσει τέκνων ἐτέθη πρὸς τὴν τοῦ γένους διαμονήν.

## Τίτλος ιδʹ Περὶ πρωτοτόκων, καὶ τί πλέον τῶν ἄλλων παίδων ἔχουσιν.

### Π$^{1}$1816 / K cap. Π 14, 1

Τοῦ Δευτερονομίου·

Ἐὰν γένωνται ἀνθρώπῳ δύο γυναῖκες, μία αὐτῷ ἠγαπημένη καὶ μία αὐτῷ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῇ μισουμένῃ, καὶ ἔσται ᾗ ἂν ἡμέρᾳ κατακληρονομήσῃ τὰ ὑπάρχοντα αὐτῷ τοῖς υἱοῖς αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον, ἀλλ’ ἢ τὸν πρωτότοκον τῆς μισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων, ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια.

### Π$^{1}$1817 / K cap. Π 14, 2

Φίλωνος, ἐκ τοῦ αʹ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Τὸ μὲν *πρωτότοκον* πρὸς τὸ μητρῷον γένος· τίκτει γὰρ γυνή· τὸ δὲ *πρωτογενὲς* πρὸς τὸ πατρῷον· γεννᾷ γὰρ ἄρρεν. Τὸ δὲ *διανοῖγον πᾶσαν μήτραν*, ἵνα μή, γενομένης πρωτοτόκου θυγατρός, εἶθ’ ὕστερον ἐπιγενομένου υἱοῦ, τὸν υἱὸν ἐν πρωτοτόκοις κατα-

---

**15 – 17** Ex. 13, 1

---

**5 – 12 Π$^{1}$1816** Deut. 21, 15–17 (deest apud Wahl, *Deuteronomium-Text*) **15 – 989, 2 Π$^{1}$1817** Philo Iudaeus, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 299–300.22); Royse 178.97

---

**1 – 2 Titlos** K (237r10–11) **4 – 12 Π$^{1}$1816** K cap. Π 14, 1 (237r[mg]12–22) **14 – 989, 2 Π$^{1}$1817** K cap. Π 14, 2 (237r[23]24–237v8); PG 86, 2089, 30–38

---

**1 – 2 Titlos 1 – 2** καὶ – ἔχουσιν] *om.* K$^{pin}$

---

**Π$^{1}$1817** αʹ] *scripsi*, δʹ K

---

7 κατακληρονομήσῃ] *correxi (LXX)*, κατακληρονομήσει K **10** διπλᾶ] *scripsi (LXX)*, διπλὰ K **18 – 989, 1** καταριθμήσῃ τις] *scrips. Petit*, καταριθμήσει τις K

ριθμήσῃ τις, ὡς τῆς ἄρρενος ἄρχοντα γενεᾶς. Ὁ γὰρ νόμος φησίν· Οὐ διοίγνυσι τὴν μήτραν ὁ τοιοῦτος τὴν εὐθὺς ἐκ παρθενίας.

## II[1]1818 / K cap. Π 14, 3

Ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Ἐν ταῖς συγγενείαις οἱ πρεσβύτατοι παῖδες διπλάσια τυγχάνουσιν, ὅτι πρῶτοι τὸ πατρὸς καὶ μητρὸς ὄνομα τοῖς γονεῦσιν ἐφήμισαν.

---

**5 – 6 II[1]1818** Philo Iudaeus, *Legatio ad Gaium*, 289 (ed. Reiter, p. 208, 8–10)

---

**4 – 6 II[1]1818** K cap. Π 14, 3 (237v[8]9–11)

---

**2** διοίγνυσι] *scrips. Mai*, διήγνυσι K$^{a.c.}$, διΐγνυσι K$^{p.c.}$ **6** τὸ] *correxi (ed.)*, τοῦ K

*II$^2$ / R cap. Π 11

## Τίτλος ιε′ Περὶ πολέμου καὶ νόμου καὶ διαταγμάτων αὐτοῦ.

### II$^1$1819 / K cap. Π 15, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαόν, λέγοντες· Τίς ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω ἐπὶ τὸν οἶκον αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. Καὶ τίς ἄνθρωπος, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. Καὶ τίς ἄνθρωπος, ὅστις μεμνήστευται γυναῖκα, καὶ οὐκ ἔλαβεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὸν οἶκον αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν. Καὶ προσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαόν, καὶ ἐροῦσιν· Τίς ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ ὥσπερ τὴν αὐτοῦ.

*II$^2$2336 / R cap. Π 11, 2

### II$^1$1820 / K cap. Π 15, 2

Τοῦ αὐτοῦ·

Ἐὰν προσέλθῃ<ς> πρὸς πόλιν ἐκπολεμῆσαι αὐτήν, καὶ ἐκκαλέσῃ αὐτοὺς μετ᾽ εἰρήνης, καὶ ἔσται ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσίν σοι καὶ ἀνοίξωσίν σοι, ἔσται πᾶς ὁ λαὸς οἱ εὑρεθέντες ἐν τῇ πόλει ἔσονταί σοι φορολόγητοι καὶ ὑπήκοοί σοι. Ἐὰν δὲ μὴ ὑπακούσω-

---

**1** Περὶ – αὐτοῦ] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Ν 2

---

**4 – 17** **II$^1$1819** Deut. 20, 5–8 (Wahl, *Deuteronomium-Text*, p. 134–135) **20 – 991, 3** **II$^1$1820** Deut. 20, 10–14 (Wahl, *Deuteronomium-Text*, p. 135)

---

**1** **Titlos** K (237v11–12) **3 – 17** **II$^1$1819** K cap. Π 15, 1 (237v[12]13–238r7) **19 – 991, 3** **II$^1$1820** K cap. Π 15, 2 (238r[7]8–17)

---

**1** **Titlos** Τίτλος] *om.* K$^{pin}$ αὐτοῦ] *correxi secund.* K$^{pin}$, αὐτῶν K$^{txt}$

---

**13** λήψεται] *scripsi (LXX)*, λήψηται K **20** προσέλθῃς] *correxi (LXX)*, προσέλθηι K

σίν σοι, καὶ ποιήσωσι πρὸς σὲ πόλεμον, καὶ περικαθιεῖς αὐτήν, καὶ παραδώσει αὐτὴν κύριος εἰς τὰς χεῖράς σου, καὶ πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φόνῳ μαχαίρας, πλὴν τῶν γυναικῶν.

## II$^{1}$1821 / K cap. Π 15, 3

***II$^{2}$2337 / R cap. Π 11, 3**

Ἐκ τοῦ αὐτοῦ·

Ἐὰν περικαθίσῃς πρὸς πόλιν ἡμέρας πλείους ἐκπολεμῆσαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς ἐπιβαλεῖν ἐπὶ αὐτὰ σίδηρον, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. Μὴ ἀφῆς τὸ ξύλον τὸ ἐν ἀγρῷ εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα, ἀλλ᾽ ἢ ξύλον, ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστι, τοῦτο ἐξολοθρεύσεις καὶ ἐκκόψεις, καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιήσει πρὸς σὲ πόλεμον, ἕως ἂν παραδοθῇ.

## II$^{1}$1822 / K cap. Π 15, 4

Τοῦ αὐτοῦ·

Ἐάν τις λάβῃ γυναῖκα προσφάτως, οὐκ ἐξελεύσεται εἰς τὸν πόλεμον.

---

**6 – 13 II$^{1}$1821** Deut. 20, 19–20 (Wahl, *Deuteronomium-Text*, p. 135–136) **16 – 17 II$^{1}$1822** Deut. 24, 5 (Wahl, *Deuteronomium-Text*, p. 141)

---

**5 – 13 II$^{1}$1821** K cap. Π 15, 3 (238r[17]18–238v3) **15 – 17 II$^{1}$1822** K cap. Π 15, 4 (238v[3]4–5)

---

**1** περικαθιεῖς] *correxi (LXX)*, περικαθιῄς K **2** παραδώσει] *correxi (LXX)*, παραδώσῃ K πατάξεις] *correxi (LXX)*, πατάξῃς K **7** ἐξολοθρεύσεις] *correxi (LXX)*, ἐξολοθρεύσῃς K **8** φαγῇ] *sic acc.* K **8 – 9** ἐκκόψεις] *correxi (LXX)*, ἐκκόψῃς K **9** ἀφῆς] ζ<ή>τ<ει> *in mg.* K, ἀφῆς K$^{a.\,c.}$, ἄνθρωπος *LXX* **11** ἐξολοθρεύσεις] *correxi (LXX),* ἐξολοθρεύσῃις K ἐκκόψεις] *correxi (LXX)*, ἐκκόψῃις K οἰκοδομήσεις] *correxi (LXX)*, οἰκοδομήσῃς K

***II[2]2338 / R cap. Π 11, 4**

## II[1]1823 / K cap. Π 15, 5

Βασιλειῶν α′·

Εἶπεν Δαυΐδ· Κατὰ τὴν μερίδα τοῦ καταβαίνοντος εἰς τὸν πόλεμον, οὕτως ἔσται καὶ ἡ μερὶς τοῦ καθημένου εἰς τὰ σκεύη· καὶ μεριοῦνται κατὰ τὸ αὐτό. Καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα εἰς πρόσταγμα καὶ εἰς δικαίωμα τῷ Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης.

***II[2]2339 / R cap. Π 11, 5**

## II[1]1824 / K cap. Π 15, 6

Τῶν Παροιμιῶν·

Μετὰ κυβερνήσεως γίνεται πόλεμος,
βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς.

## II[1]1825 / K cap. Π 15, 7

Τῶν αὐτῶν·

Ἵππος ἑτοιμάζεται ἐν ἡμέρᾳ πολέμου,
παρὰ δὲ κυρίου ἡ βοήθεια.

## II[1]1826 / K cap. Π 15, 8

Τοῦ Σιράχ·

Πόλεσιν ὀχυραῖς ἐπέβη σοφός,
καὶ καθεῖλε τὸ ὀχύρωμα, ἐφ’ ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς.

---

**3 – 7 II[1]1823** I Reg. 30, 23–25 (Wahl, *1 Samuel-Text*, p. 80) **10 – 11 II[1]1824** Prov. 24, 6[1–2] (Wahl, *Proverbien-Text*, p. 113) **14 – 15 II[1]1825** Prov. 21, 31[1–2] (Wahl, *Proverbien-Text*, p. 104) **18 – 19 II[1]1826** Sir., re vera Prov. 21, 22[1–2] (Wahl, *Proverbien-Text*, p. 103)

---

**2 – 7 II[1]1823** K cap. Π 15, 5 (238v[5]6–11) **9 – 11 II[1]1824** K cap. Π 15, 6 (238v[11]12–13) **13 – 15 II[1]1825** K cap. Π 15, 7 (238v[13]14–15) **17 – 19 II[1]1826** K cap. Π 15, 8 (238v[15]16–17)

---

**18** ἐπέβη] ἐπεβαίνει K[a. c. ut videtur]

## II$^{1}$1827 / K cap. Π 15, 9

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ εἰς τὸν ἐξισωτήν·

Πόλεμοι φόνων πατέρες.

## II$^{1}$1828 / K cap. Π 15, 10

<***> ἐκ τοῦ εἰς τοὺς Μακκαβεῖς·

Στρατηγὸς δεινὸς τὰ πολέμια, πλησιάσας τῶν ἀντιπάλων ταῖς φάλαγξιν ἐνθουσιώσαις πρὸς πόλεμον, λόχον ἀφανῆ κατὰ τῶν φωνούντων ἀρτύει, καὶ προφανοῦς ὄψεως ἑαυτὸν ἀφελκύσας, ἐξ ἀφανοῦς χωρίου τὴν ἀθρόον σοφίζεται συμπλοκήν, καὶ οὓς ἐξ αἰθερίου φαινόμενος οὐ φοβεῖ, τούτους ἀοράτοις ἐπιδρομαῖς καταπλήττει.

## II$^{1}$1829 / K cap. Π 15, 11

Ἰωσήπου, ἐκ τῆς Ἰουδαϊκῆς ἱστορίας·

Ἀνδρείως χρὴ φέρειν τὴν τοῦ πολέμου φύσιν, ἐννοοῦντας ὡς καὶ οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περιγίνεται.

---

**7 – 8** λόχον … ἀρτύει] cf. Hom., *Od.*, XIV, 469

---

**3 II$^{1}$1827** Gregorius Nazianzenus, *Ad Iulianum tributorum exaequatorem (Orat. 19)*, 14 (PG 35, 1061, 2–3) **6 – 11 II$^{1}$1828** <Gregorius Nazianzenus?> *In Maccabaeos (Orat. 15)*, locus non repertus; forsan Flavio Iosepho attribuendus (vide *II$^{2}$2343 / R cap. Π 11, 9) **14 – 15 II$^{1}$1829** Flavius Iosephus, *De bello Iudaico*, IV, 40 (ed. Destinon/Niese, VI, p. 352, 7–9)

---

**2 – 3 II$^{1}$1827** K cap. Π 15, 9 (238v[18]19) **5 – 11 II$^{1}$1828** K cap. Π 15, 10 (238v[19]20–239r4) **13 – 15 II$^{1}$1829** K cap. Π 15, 11 (239r[4]5–7)

---

**II$^{1}$1827** ἐξισωτήν] *scripsi*, ἐξησοτην K **II$^{1}$1828** *excidit nomen auctoris (vel* Τοῦ αὐτοῦ*)* **II$^{1}$1829** Ἰωσήπου] *scripsi*, ἰωσίππου K

---

**3** φόνων] φόρων *ed. (sed vide app. crit., n. 33)* **8** ἀρτύει] ζ<ή>τ<ει> *in mg.* K ἀφελκύσας] *scripsi*, ἐφελκύσας K **15** ἀναιμωτὶ] *correxi (ed.)*, ἀναίμοτε K *(*ζ<ή>τ<ει> *in mg.)*

## II[1]1830 / K cap. Π 15, 12

Φίλωνος, ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Οὐχ' ἧττον τῆς κατὰ τῶν πολεμίων νίκης ἡ ὄψις τῆς ἐκείνων διαφθορᾶς ἡδονὴν ἐργάζεται.

**3–4 II[1]1830** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 300.23); Royse 177.67

**2–4 II[1]1830** K cap. Π 15, 12 (239r[7]8–9); PG 86, 2089, 40–42

**3** ἧττον] *tacite correx. Mai*, ἥττονα *coniec. Lewy*, ἥττων K

## Τίτλος ις′ Περὶ πλαστογράφων.

***II$^2$ / PML$^b$ cap. Π 19**

### II$^1$1831 / K cap. Π 16, 1

***II$^2$2385 / PML$^b$ cap. Π 19, 1**

Ἡσαΐου προφήτου·

Οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες γάρ, πονηρίαν γράφουσιν.

### II$^1$1832 / K cap. Π 16, 2

Φίλωνος, ἐκ τοῦ κατὰ Φλάκκον·

Προεστὼς ὁ Λάμπων τοῖς ἡγεμόσιν, ὁπότε δικάζοιντο, ὑπεμνηματίζετο, τὰς δίκας εἰσάγων ὡς ἔχων τάξιν· εἶτα τὰ μὲν ἀπείληφεν ἢ παρήει ἑκών, τὰ δὲ οὐ λεχθέντα προσενέταττεν, ἔστι δὲ καὶ ὅτε καὶ ὑπηλλάττετο, μεταποιῶν καὶ μετατιθεὶς καὶ στρέφων ἄνω κάτω τὰ γράμματα, κατὰ συλλαβήν, μᾶλλον δὲ καὶ κεραίαν ἑκάστην ἀργυρολογῶν ὁ γραμματοκύφων· ὃν πολλάκις ὁ δῆμος ἅπας ὁμοθυμαδὸν εὐθυβόλως καὶ εὐσκόπως καλαμοσφάκτην ἐξεκήρυξεν, οἷς ἔγραφε μυρίους ἀνελόντα καὶ ζῶντας ἀθλιωτέρους τῶν ἀποθανόντων ἀπεργασάμενον, οἳ δυνάμενοι νικᾶν καὶ περιουσιάζειν ἧτταν ἀδικωτάτην ὑπέμειναν, ὠνησαμένων ἀμφότερα τῶν ἐχθρῶν παρὰ τοῦ τὰς ἀλλοτρίας οὐσίας ἐπευωνίζοντος· ἐμπορία γὰρ αὐτῷ ἡ λήθη τῶν δικαστῶν ὑπῆρχεν.

---

**4 – 5 II$^1$1831** Is. 10, 1 (Wahl, *Prophetenzitate*, p. 322) **8 – 18 II$^1$1832** Προεστὼς – ἐπευωνίζοντος] PHILO IUDAEUS, *In Flaccum*, 131–132 (ed. Reiter, p. 144, 6–16) **18 – 19** ἐμπορία – ὑπῆρχεν] cf. IBID., 134 (p. 144, 22)

---

**1 Titlos** K (239r10) **3 – 5 II$^1$1831** K cap. Π 16, 1 (239r[10]11–12) **7 – 19 II$^1$1832** K cap. Π 16, 2 (239r[12]13–239v6)

---

**1 Titlos** Τίτλος] *om.* K$^{pin}$

---

**8 – 9** ὑπεμνηματίζετο] *scripsi (ed.)*, ὑπομνηματίζετο K **9** ἀπήλειφεν *ed. (sed cf. app. crit.)*, παρείληφεν K$^{a. c. ut videtur}$ ἢ] *correxi (ed.)*, εἰ K **10** παρήει] *correxi (cf. ed.)*, παρείη K **12** κεραίαν] *scripsi (ed.)*, κεραιὰν K **14** εὐσκόπως] *scripsi (ed.)*, εὐσκόπος K **16** ἀπεργασάμενον] *correxi (ed.)*, ἀπειργασάμενον K οἳ] *correxi (ed.)*, οἱ K **17** ὠνησαμένων] *correxi (ed.)*, ὧν ἰσαμένων K **19** ἡ λήθη] *scripsi (cf. ed.)*, πλήθη K

**Τίτλος ιζʹ Περὶ προσπαθείας καὶ *μερίμνης βιωτικῆς*, καὶ ὅτι χρὴ ἀπροσπαθῶς διακεῖσθαι περὶ τὰ πράγματα τοῦ βίου.**

**εʹ Περὶ προσπαθείας καὶ περὶ μερίμνης, καὶ ὅτι χρὴ ἀπροσπαθῶς διακεῖσθαι περὶ τὰ πράγματα.**

**κθʹ Περὶ προσπαθείας καὶ μερίμνης, καὶ ὅτι χρὴ ἀπροσπαθῶς διακεῖσθαι περὶ τὰ πράγματα.**

## <II$^{1}$suppl. 371 / V cap. Π 5, 1>

## II$^{1}$1833 / K cap. Π 17, 1

Ἀπὸ τοῦ Σιράχ·

Πρὸ καιροῦ ἄγει γῆρας μέριμνα.

## <II$^{1}$suppl. 372 / V cap. Π 5, 3>

---

**1** μερίμνης βιωτικῆς] Luc. 21, 34; cf. II$^{1}$ / K$^{pin}$ Παραπομπὴ M 7 **7 II$^{1}$suppl. 371** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8) **11 II$^{1}$suppl. 372** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**10 II$^{1}$1833** Sir. 30, 24$^{2}$ (Wahl, *Sirach-Text*, p. 129–130)

---

**1 – 2 Titlos (a)** K (239v6–8) **3 – 4 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **5 – 6 Titlos (c)** PM$^{pin}$ L$^{b\ pin}$ E R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ **9 – 10 II$^{1}$1833** K cap. Π 17, 1 (239v[8]9); V cap. Π 5, 2; P cap. Π 29, 2; E cap. 185, 2; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ R; PG 96, 236, 34

---

**1 – 2 Titlos (a) 1** Τίτλος] *om.* K$^{pin}$ **1 – 2** καὶ$^{2}$ – βίου] *om.* K$^{pin}$ **3 – 4 Titlos (b) 3** εʹ] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(εʹ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ **4** περὶ] *om.* V$^{E\ pin}$ V$^{W\ pin}$ V$^{O\ pin}$ **5 – 6 Titlos (c) 5** κθʹ] ρπεʹ E, τίτλος λγʹ R$^{txt}$, λγʹ R$^{pin}$ **5 – 6** καὶ$^{1}$ – πράγματα] *om.* M$^{pin}$ **5** καὶ$^{2}$] *om.* R ἀπροσπαθῶς] εὐπροσπαθῶς E

---

**II$^{1}$1833** (a) K (b) Τοῦ Σιράχ V$^{W}$ P E Τοῦ] *om.* V$^{W}$ E (c) *s. a.* V$^{E}$V$^{O}$

## II¹1834 / K cap. Π 17, 2

Ἐκ τῆς πρὸς Κορινθίους α′·

Ὁ καιρὸς συνεσταλμένος ἐστὶ τὸ λοιπόν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

## II¹1835 / K cap. Π 17, 3

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ εἰς ἑαυτόν·

Ἰὸς τῷ ἀνδρὶ μέριμνα.

## II¹1836 / K cap. Π 17, 4

Κλήμεντος, ἐκ τοῦ η′ Στρώματος·

Ἀπροσπαθῶς χρὴ διοικεῖν τὴν κτῆσιν, καί, ἐπισυμβαίνοντός τινος,

---

**3 – 7 II¹1834** I Cor. 7, 29–31 **10 II¹1835** GREGORIUS NAZIANZENUS, *Carmina*, II,1,19 *(Querela de suis calamitatibus)*, 63; Paraphrasis A 3 (ed. Simelidis, p. 111; 251) **13 – 998, 3 II¹1836** CLEMENS ALEXANDRINUS, *Stromata*, VIII, re vera *Eclogae propheticae*, 47 (ed. Nardi, p. 80, 1–5)

---

**2 – 7 II¹1834** K cap. Π 17, 2 (239v[9]10–15); $V^E V^O$ cap. Π 5, 4; $V^{W\ addit.}$ cap. Π 5, 5; P cap. Π 29, 5; *deest in* $H^I$ $M^{(lac.)}$ $L^b$ R E; PG 96, 236, 42–48 **9 – 10 II¹1835** K cap. Π 17, 3 (239v[15]16); $V^{W\ addit.}$ cap. Π 5, 4; P cap. Π 29, 3; E cap. 185, 4; *deest in* $V^E V^O$ $H^I$ $M^{(lac.)}$ $L^b$ R **12 – 998, 3 II¹1836** K cap. Π 17, 4 (239v[16]17–21); $V^E V^O$ cap. Π 5, 6; $V^W$ cap. Π 5, 7; P cap. Π 29, 7; E cap. 185, 6; R cap. Π 33, 4; *deest in* $H^I$ $M^{(lac.)}$ $L^b$; PG 96, 237, 3–7

---

**II¹1834** (a) K (b) Πρὸς Κορινθίους α′ $V^E V^O$ P α′] *om.* $V^E V^O$ (c) Τοῦ Ἀποστόλου $V^{W\ addit.}$ **II¹1835** (a) K (b) Τοῦ Θεολόγου $V^{W\ addit.}$ P E Τοῦ] *om.* E **II¹1836** (a) K (b) Κλήμεντος Στρωματέως P R κλημεντος στρωματαιως P (c) Κλήμεντος V E

---

**3 – 7** Ὁ – τούτου] *om.* $V^W$ *(in mg. add. man. rec.)* **3** τὸ] *om.* K **4** ὡς² – χαίροντες²] *iterav.* $V^O$ *(sed cancellav.)* **5** καὶ – κατέχοντες] *om.* K **10** Ἰὸς] *praem.* ὁ K **13** κτῆσιν] -τῆ- *e corr.* $V^W$, κτίσιν P R

μὴ ἀγανακτεῖν, μὴ δὲ λυπεῖσθαι, μὴ δὲ ἐπιθυμεῖν κτήσασθαι· τῆς ἐμπαθοῦς γὰρ κτήσεως κελεύει ὁ κύριος ἀφίστασθαι καὶ πάσης προσπαθείας.

## II$^{1}$1837 / K cap. Π 17, 5

Νείλου ἀσκητοῦ·

Τελείας ψυχῆς ἐστὶ τὸ ἀμέριμνον, ἀσεβοῦς δὲ τὸ φροντίσιν καταβρίθεσθαι. Περὶ μὲν γὰρ τῆς τελείας ψυχῆς εἴρηται ὅτι *Κρίνον* ἐστὶν *ἐν μέσῳ ἀκανθῶν*· τοῦτο δὲ τὴν ἄφροντιν δηλοῖ. Περὶ δὲ τῶν φροντίδα πολλὴν ἐχόντων εἰς τὰ βιωτικά, φησί· *Πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι.* Καὶ γὰρ ὄντως ἐστὶν ἀσεβὲς παντὶ τῷ βίῳ συμπαρεκτείνειν τὴν τῶν σωματικῶν φροντίδα.

## II$^{1}$1838 / K cap. Π 17, 6

Φίλωνος, ἐκ τοῦ περὶ βίου θεωρητικοῦ·

Αἱ χρημάτων καὶ κτημάτων ἐπιμέλειαι τοὺς χρόνους ἀναλίσκουσιν, χρόνου δὲ φείδεσθαι καλόν.

---

**7 – 8** Cant. 2, 21 **9 – 10** Iob 15, 20$^{1}$

---

**6 – 8 II$^{1}$1837** Τελείας – δηλοῖ] NILUS ASCETA (ANCYRANUS?), *Liber de monastica exercitatione*, 67 (PG 79, 800, 47–51) **8 – 11** Περὶ – φροντίδα] IBID. (PG 79, 800, 54 – 801, 2) **14 – 15 II$^{1}$1838** PHILO IUDAEUS, *De vita contemplativa*, 16 (ed. Cohn, p. 50, 9–11)

---

**5 – 11 II$^{1}$1837** K cap. Π 17, 5 (239v[21]22–240r6); $V^{E}V^{O}$ cap. Π 5, 5; $V^{W}$ cap. Π 5, 6; P cap. Π 29, 6; E cap. 185, 5; R cap. Π 33, 3; *deest in* $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 236, 49 – 237, 2 **13 – 15 II$^{1}$1838** K cap. Π 17, 6 (240r[7]8–9); *deest in* V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E

---

**II$^{1}$1837** (a) K (b) Νείλου μοναχοῦ P R (c) Νείλου V E νίλου $V^{E}V^{O}$

---

**1 – 3** μὴ$^{2}$ – προσπαθείας] *om.* P R E **1** δὲ λυπεῖσθαι] διαλυπεῖσθαι K ἀθυμεῖν $V^{W}$ **1 – 3** κτήσασθαι – προσπαθείας] *om.* $V^{W}$ **6** ἀμέριμνον] *add.* εἶναι P R E, *praem.* εἶναι $V^{W}$ **6 – 7** καταβρήθεσθαι $V^{W}$, κατατρίβεσθαι $V^{E}V^{O}$ E **7** κρῖνον $K^{a.c.}$ $V^{W}$, κρινον P, κρίνων $V^{E}V^{O}$ **8** ἐν] *s. l.* K ἀφροντὴν P, ἄφροντϊ $V^{O}$, ἀφρόντιδα K, ἀφροντισίαν R **9** εἰς τὰ] *om.* R βιωτικά, φησί] βιωτικὴν φησὶ R, βιωτικὰ φύσει *e corr.* K **10 – 11** Καὶ – φροντίδα] *om.* V P R E

**Τίτλος ιη′ Περὶ παρατηρήσεως, καὶ ὅτι οὐ δεῖ ἡμέρας ἢ καιροὺς παρατηρεῖσθαι.** *II$^2$ / L$^c$ cap. Π 4

**κζ′ Περὶ παρατηρήσεως καὶ οἰωνισμοῦ, καὶ ὅτι οὐ δεῖ ἡμᾶς καιροὺς ἢ ἀνθρώπους παρατηρεῖσθαι.**

## II$^1$1839 / K cap. Π 18, 1

*II$^2$2353 / L$^c$ cap. Π 4, 1

Ἀπὸ τοῦ Λευϊτικοῦ·

Ἀπαρατήρητος ὁ οἶκος τοῦ Ἰσραήλ.

## II$^1$1840 / K cap. Π 18, 2

Τῶν Ἀριθμῶν·

Οὐκ ἔσται οἰωνισμὸς οὐδὲ μαντ<ε>ία ἐν Ἰσραήλ.

## II$^1$1841 / K cap. Π 18, 3

*II$^2$2354 / L$^c$ cap. Π 4, 2

Τοῦ Ἐκκλησιαστοῦ·

Τηρῶν ἄνεμον οὐ σπερεῖ,
καὶ βλέπων ἐν ταῖς νεφέλαις, οὐ θερίσει.

---

7 **II$^1$1839** Lev., locus non repertus; Deuteronomio attributus in *Sacris* *II$^2$2353 / L$^c$ cap. Π 4, 1, Prophetiae Baruch in *Sacris* *II$^2$2355 / L$^c$ cap. Π 4, 3 (Wahl, *Prophetenzitate*, p. 700) **10 II$^1$1840** Num. 23, 23$^{1-2}$ **13 – 14 II$^1$1841** Eccle. 11, 4$^{1-2}$ (Wahl, *Kohelet-Text*, p. 172)

---

**1 – 2 Titlos (a)** K (240r10–11) **3 – 4 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **6 – 7 II$^1$1839** K cap. Π 18, 1 (240r[11]12); *deest in* V H$^I$ **9 – 10 II$^1$1840** K cap. Π 18, 2 (240r[12]13); *deest in* V H$^I$ **12 – 14 II$^1$1841** K cap. Π 18, 3 (240r[13]14–15); V cap. Π 27, 1; *deest in* H$^I$; PG 96, 297, 26–27

---

**3 – 4 Titlos (b)** **3** κζ′] κς′ A$^{I\ pin}$, *praem.* τίτλος V$^{W\ txt}$ **4** καιροὺς] *add.* ἢ ἡμέρας V$^W$

---

**II$^1$1841** Τοῦ] *om.* V

---

**10** μαντεία] *scripsi*, μαντία K **14** θερίσει] *add.* ἐν οἷς οὐκ εστι γινώσκων τίς εἶδος *(sic)* τοῦ πνεύματος *(= Eccle. 11, 5$^1$)* V$^{W\ in\ mg.\ man.\ rec.}$

*II²2356 / Lᶜ cap. Π 4, 4

## II¹1842 / K cap. Π 18, 4

Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς·

Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς· φοβοῦμαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.

*II²2358 / Lᶜ cap. Π 4, 6

## II¹1843 / K cap. Π 18, 5

Ἐκ τῆς πρὸς Κολασσαεῖς ἐπιστολῆς·

Μή τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει ἢ ἐν μέρει ἑορτῆς ἢ ἐν νεομηνίᾳ ἢ ἐν σαββάτῳ, ἅ ἐστι σκιὰ τῶν μελλόντων.

*II²2357 / Lᶜ cap. Π 4, 5

## II¹1844 / K cap. Π 18, 6

Καὶ πάλιν·

Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ, μὴ δὲ γεύσῃ, μὴ δὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ *ἐντάλματα καὶ διδασκαλίας* τῶν *ἀνθρώπων*, ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.

*II²2359 / Lᶜ cap. Π 4, 7

## <II¹suppl. 373 / V cap. Π 27, 4>

---

**13 – 14** Is. 29, 13 **17 II¹suppl. 373** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 4 II¹1842** Gal. 4, 10–11 **7 – 8 II¹1843** Col. 2, 16–17 **11 – 16 II¹1844** Col. 2, 20–23

---

**2 – 4 II¹1842** K cap. Π 18, 4 (240r[15]16–18); V cap. Π 27, 2; *deest in* Hᴵ; PG 96, 297, 28–30 **6 – 8 II¹1843** K cap. Π 18, 5 (240r[18]19–21); V cap. Π 27, 3; *deest in* Hᴵ; PG 96, 297, 31–33 **10 – 16 II¹1844** K cap. Π 18, 6 (240r[21]21–240v6); *deest in* V Hᴵ

---

**II¹1842** (a) K (b) Πρὸς Γαλάτας VᴱVᴼ (c) Τοῦ Ἀποστόλου Vᵂ **II¹1843** (a) K (b) Πρὸς Κολασαεῖς VᴱVᴼ (c) Τοῦ αὐτοῦ Vᵂ

---

**3** παρατηρεῖσθαι K VᴱVᴼ **4** ὑμᾶς] *om.* VᴱVᴼ κεκοπιάκαμεν Vᵂ **8** ἐν] *om.* V

## Τίτλος ιθ′ Περὶ παρακαινόντων.

### II[1]1845 / K cap. Π 19, 1

Τῶν Παροιμιῶν·

Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις.

4 **II[1]1845** Prov. 11, 9[1] (Wahl, *Proverbien-Text*, p. 56)

1 **Titlos** K (240v6–7) **3 – 4 II[1]1845** K cap. Π 19, 1 (240v[7]8)

**1 Titlos** Τίτλος] *om.* K[pin] παρακαινόντων] *scripsi*, παρακενόντων K, *an legendum* παραβαινόντων?

## Τίτλος κʹ  Περὶ πατρίδος, καὶ ὅτι ποθεινὴ καὶ ἐρασμία ἑκάστῳ ἡ ἰδία πατρίς.

### II$^1$1846 / K cap. Π 20, 1

Ἀπὸ τῶν Ἀριθμῶν·

Εἶπεν Μωϋσῆς τῷ Ὠβάβ, υἱῷ Ῥαγουὴλ τῷ Μαδιανίτῃ, γαμβρῷ Μωϋσέως· Ἐξαίρομεν ἡμεῖς εἰς τὸν τόπον, ὃν εἶπεν κύριος· Τοῦτον δώσω ὑμῖν. Δεῦρο μεθ᾽ ἡμῶν, καὶ εὖ σοι ποιήσομεν, ὅτι κύριος ἐλάλησε καλὰ περὶ Ἰσραήλ. Καὶ εἶπεν πρὸς αὐτόν· Οὐ πορεύσομαι, ἀλλ᾽ εἰς τὴν γῆν μου καὶ εἰς τὴν γενεάν μου. Καὶ εἶπεν· Μὴ ἐγκαταλίπῃς ἡμᾶς, οὗ εἵνεκεν ἦσθα μεθ᾽ ἡμῶν ἐν τῇ ἐρήμῳ, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης· καὶ ἔσται ἐὰν πορεύσῃ μεθ᾽ ἡμῶν, καὶ ἔσται τὰ ἀγαθὰ ἐκεῖνα, ὅσα ἂν ἀγαθοποιήσῃ κύριος ἡμᾶς, καὶ εὖ σοι ποιήσωμεν.

### II$^1$1847 / K cap. Π 20, 2

Τῶν Παροιμιῶν·

Ὥσπερ ὄρνεον ὅταν καταπετασθῇ ἀπὸ τῆς ἰδίας νοσσιᾶς,
οὕτως ἄνθρωπος δουλοῦται, ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων
[τόπων.

---

**5 – 13 II$^1$1846** Num. 10, 29–32 **16 – 18 II$^1$1847** Prov. 27, 8$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 131)

---

**1 – 2 Titlos** K (240v8–10) **4 – 13 II$^1$1846** K cap. Π 20, 1 (240v[10]11–21) **15 – 18 II$^1$1847** K cap. Π 20, 2 (240v[21]22–241r1)

---

**1 – 2 Titlos 1** Τίτλος] *om.* K$^{pin}$

---

**5** Ὠβάβ] *sic spir.* K **6** κύριος] *praem.* ὁ K$^{p. c. s. l.}$

## II$^{1}$1848 / K cap. Π 20, 3

Φίλωνος, ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Πᾶσιν ἀνθρώποις ἐμπέφυκεν ἔρως τῆς πατρίδος καὶ τῶν οἰκείων νόμων ἀποδοχή.

## II$^{1}$1849 / K cap. Π 20, 4

Σχόλιον·

Ἐπίσκεψαι ἐνταῦθα ἐν τῷ Ξ στοιχείῳ τὸν Περὶ ξενιτείας τίτλον.

---

7 Περὶ ξενιτείας] cf. II$^{1}$ / K cap. Ξ 1

---

**3 – 4 II$^{1}$1848** Philo Iudaeus, *Legatio ad Gaium*, 277 (ed. Reiter, p. 206, 4–6) **7 II$^{1}$1849** *Scholion*

---

**2 – 4 II$^{1}$1848** K cap. Π 20, 3 (241r[1]2–3) **6 – 7 II$^{1}$1849** K cap. Π 20, 4 (241r[3]3–4)

---

**3** πατρίδος] *scripsi*, παστρίδος K

# Στοιχεῖον Ρ

*II$^{2}$ / R cap. Ρ 2

## **Τίτλος α′ Περὶ ῥεμβομένων καὶ ἀστατούντων.**

## **α′ Περὶ ῥεμβομένων.**

### II$^{1}$1850 / K cap. Ρ 1, 1

Τοῦ Ἐκκλησιαστοῦ·

Καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύεται,
καρδία αὐτοῦ ὑστερήσει,
καὶ λογιεῖται· Πάντα ἀφροσύνης ἐστίν.

*II$^{2}$suppl. 33 / PML$^{b}$ cap. Ρ 1, 11

### II$^{1}$1851 / K cap. Ρ 1, 2

Ἡσαΐου προφήτου·

Ἴδετε ὅτι πάντες ἐκτετύφλωνται, καὶ οὐκ ἔγνωσαν φρονῆσαι· πάντες οὗτοι κύνες ἐνεοί, οὐ δυνάμενοι ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτῃ, φιλοῦντες νυσταγμόν. Καὶ οἱ κύνες ἀναιδεῖς καὶ <οὐκ> εἰδότες πλησμονήν· καὶ εἰσὶ πονηροὶ καὶ οὐκ εἰδότες σύνεσιν,

---

**6 – 8 II$^{1}$1850** Eccle. 10, 3$^{1-3}$ (Wahl, *Kohelet-Text*, p. 169) **11 – 1005, 2 II$^{1}$1851** Is. 56, 10–11 (Wahl, *Prophetenzitate*, p. 443–444)

---

**1 Stoicheion** K$^{txt}$ (241r5) K$^{pin}$ **2 Titlos (a)** K (241r5) **3 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **5 – 8 II$^{1}$1850** K cap. Ρ 1, 1 (241r[5]6–8); *deest in* V H$^{I}$ **10 – 1005, 2 II$^{1}$1851** K cap. Ρ 1, 2 (241r[8]9–15); V cap. Ρ 1, 1; P cap. Ρ 2, 1; *deest in* H$^{I}$; PG 96, 328, 34–40

---

**2 Titlos (a)** καὶ ἀστατούντων] *om.* K$^{pin}$ **3 Titlos (b)** α′] *om.* V$^{O\ txt}$ *(α′ secund. ser.), propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(α′ secund. ser.), praem.* τίτλος α′ V$^{E\ pin}$ V$^{O\ pin}$, *praem.* τίτλος V$^{W\ txt}$ ῥεμβομένων] *add.* τῇ διανοίᾳ καὶ τοῖς ὀφθαλμοῖς V$^{E\ pin}$ V$^{O\ pin}$

---

**II$^{1}$1851** (a) K (b) Ἡσαΐου V P

---

7 καρδία] *scripsi (LXX)*, καρδίαι K ὑστερήσει] *scripsi (LXX)*, ὑστερήσηι K **8** ἀφροσύνη *LXX* **11** φρονῆσαι] φρόνησιν V P **12** πάντες] *add.* οὖν V$^{E}$V$^{O}$ ἐννεοὶ *(-οι P)* V$^{E}$V$^{O}$ P **13** οἱ] *scripsi (LXX)*, οἱ P, οὐ K V οὐκ] *supplevi (LXX)*, *om.* K V P

πάντες ταῖς ὁδοῖς αὐτῶν ἐπορεύθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ πλεονέκτημα.

## II¹1852 / K cap. P 1, 3

Σοφία Σολομῶντος·

Ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

## II¹1853 / K cap. P 1, 4

Ἀπὸ τοῦ Σιράχ·

Υἱὸς πλανώμενος αἰσχύνει μητέρα αὐτοῦ.

## II¹1854 / K cap. P 1, 5

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ *Πρόσεχε σεαυτῷ*·

Ἴδιον τοῦτο ἀρρώστημα ἀργῆς καὶ ῥαθύμου ψυχῆς, ἐνύπνια βλέπειν, ἐγρηγορότος τοῦ σώματος.

---

**5 II¹1852** Sap. 4, 12² **8 II¹1853** Sir., re vera Prov. 29, 15² (Wahl, *Proverbien-Text*, p. 141) **11 – 12 II¹1854** Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 5 (ed. Rudberg, p. 31, 7–9)

---

**4 – 5 II¹1852** K cap. P 1, 3 (241r[15]16); V cap. P 1, 2; P cap. P 1, 12; E cap. 203, 11; *deest in* Hᴵ; PG 96, 328, 41–42 **7 – 8 II¹1853** K cap. P 1, 4 (241r[16]17); V cap. P 1, 3; *deest in* Hᴵ; PG 96, 328, 43 **10 – 12 II¹1854** K cap. P 1, 5 (241r[17]18–19); V cap. P 1, 4; *deest in* Hᴵ; PG 96, 328, 44–45

---

**II¹1852** (a) K P E σολομωντος P (b) Σολομῶντος V **II¹1853** (a) K (b) Σιράχ Vᵂ (c) *s. a.* VᴱVᴼ **II¹1854** (a) K (b) Βασιλείου VᴱVᵂ (c) *s. a.* Vᴼ

---

**5** μεταλλεύει νοῦν] μεταλεύει νοῦν VᴱVᵂ, μεταλευεῖν οὖν Vᴼ

# Στοιχεῖον Σ

*II$^{2}$ / PML$^{b}$ cap. Σ 15

**Τίτλος α′ Περὶ συμμέτρου καταστάσεως, καὶ ὅτι χρὴ συμμέτρως καὶ μετὰ διακρίσεως πάντα ποιεῖν καὶ μηδὲν ἄγαν.**

**β′ Περὶ συμμέτρου καταστάσεως καὶ τοῦ Μηδὲν ἄγαν.**

## II$^{1}$1855 / K cap. Σ 1, 1

Τῶν Παροιμιῶν·

Ἐσθίειν μέλι πολὺ οὐ καλόν.

*II$^{2}$2583 / PML$^{b}$ cap. Σ 15, 2

## II$^{1}$1856 / K cap. Σ 1, 2

Τοῦ Ἐκκλησιαστοῦ·

Μὴ γίνου δίκαιος πολύ,
καὶ μὴ σοφίζου περισσά, μήποτε ἐκπλαγῇς,
καὶ μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός,
ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.

---

**2** καταστάσεως] cf. II$^{1}$ / K$^{pin}$ Παραπομπὴ K 5 **3** e. g. Plat., *Prot.*, 343b3 **4** Ibid.

---

**7 II$^{1}$1855** Prov. 25, 27$^{1}$ (Wahl, *Proverbien-Text*, p. 127) **10 – 13 II$^{1}$1856** Eccle. 7, 16$^{1}$–17$^{2}$ (Wahl, *Kohelet-Text*, p. 161–162)

---

**1 Stoicheion** K$^{txt}$ (241r20) K$^{pin}$ **2 – 3 Titlos (a)** K (241r20–22) **4 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **6 – 7 II$^{1}$1855** K cap. Σ 1, 1 (241r[22]241v1); V cap. Σ 2, 1; *deest in* H$^{I}$; PG 96, 329, 16 **9 – 13 II$^{1}$1856** K cap. Σ 1, 2 (241v[1]2–5); V cap. Σ 2, 2; *deest in* H$^{I}$; PG 96, 329, 17–20

---

**2 – 3 Titlos (a) 2 – 3** ὅτι – ἄγαν] τοῦ μηδὲν ἀγανακτεῖν K$^{pin}$ **4 Titlos (b)** β′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(β′ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ καὶ – ἄγαν] καὶ τοῦ μηδένα λυπεῖν V$^{E\ pin}$V$^{O\ pin}$, *om.* V$^{E\ txt}$ V$^{O\ txt}$ A$^{I\ pin}$

---

**II$^{1}$1855** Τῶν] *om.* V **II$^{1}$1856** (a) K V$^{W}$ Τοῦ] *om.* V$^{W}$ (b) *s. a.* V$^{E}$V$^{O}$

---

**11** ἐκπαγὴς V$^{E}$, ἐκπαγὶς V$^{O}$ **12** καὶ$^{1}$] *om.* K$^{a.\ c.\ ut\ videtur}$ ἀσεβήσεις V$^{E}$V$^{O\ e\ corr.}$

## II¹1857 / K cap. Σ 1, 3

*II²2584 / PMLᵇ cap. Σ 15, 3

Ἀπὸ τοῦ Σιράχ·

Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς.

## II¹1858 / K cap. Σ 1, 4

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα· πολλὰ γὰρ πταίομεν ἅπαντες.

## II¹1859 / K cap. Σ 1, 5

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας λόγου·

Καὶ τὸ δακρύειν τῆς ἐκ τοῦ λόγου συμμετρίας προσδεῖται· ἐπὶ τίσι γίνεσθαι καὶ ἐπὶ πόσον καὶ πότε καὶ πῶς προσῆκεν.

---

**3 II¹1857** Sir. 13, 2¹ (Wahl, *Sirach-Text*, p. 81–82) **6 – 7 II¹1858** Iac. 3, 1–2 **10 – 11 II¹1859** Basilius Caesariensis, *Homilia de gratiarum actione (In illud:* Semper gaudete *[I Thess. 5, 16])*, 5 (PG 31, 228, 22–25)

---

**2 – 3 II¹1857** K cap. Σ 1, 3 (241v[5]6); V cap. Σ 2, 3; *deest in* Hᴵ; PG 96, 329, 21 **5 – 7 II¹1858** K cap. Σ 1, 4 (241v[6]7); V cap. Σ 2, 4; *deest in* Hᴵ; PG 96, 329, 22–24 **9 – 11 II¹1859** K cap. Σ 1, 5 (241v[8]9–11); *deest in* V Hᴵ

---

**II¹1857** (a) K (b) Σιράχ *(-ραχ cod.)* Vᵂ (c) *s. a.* VᴱVᴼ **II¹1858** (a) K (b) Ἰακώβου Vᵂ (c) Σιράχ VᴱVᴼ

---

**6** πολλοὶ] -λοι *e corr.* Vᵂ, πολὺ VᴱVᴼ ᵃ· ᶜ· ἀδελφοί μου] ἀδελφοὶ V **6 – 7** εἰδότες – ἅπαντες] *om.* K **6** μείζων VᴱVᴼ **11** πόσον] *scripsi (ed.)*, πόσων K

## II$^{1}$1860 / K cap. Σ 1, 6

Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ εὐταξίας·

Τοῦτο εἰδότες, ἀδελφοί, μήτε νωθεῖς ὦμεν πρὸς τὸ καλόν, ἀλλὰ *τῷ πνεύματι ζέωμεν*, *μήποτε ὑπνώσωμεν* κατ᾽ ὀλίγον *εἰς θάνατον*, ἢ *καθεύδουσιν* ἡμῖν *ἐπισπείρῃ* τὰ πονηρὰ σπέρματα *ὁ ἐχθρός* – νωθ<ε>ία γὰρ ὕπνου σύζυγος –, μήτε δὲ διάπυροι σὺν ἀλογίᾳ καὶ φιλαυτίᾳ, ἵνα μὴ ἐκφερώμεθα, μὴ δὲ τῆς *ὁδοῦ* τῆς *βασιλικῆς* ἔξω πίπτωμεν, ἔν γε τι πάντως πταίοντες, ἢ κέντρων δεόμενοι διὰ τὴν νωθείαν, ἢ κρημνιζόμενοι διὰ τὴν θερμότητα. Ἀμφοτέρων δὲ ὅσον χρήσιμόν ἐστι λαβόντες, τῆς μὲν τὸ πρᾶον, τῆς δὲ τὸν ζῆλον, ἀμφοτέρων ὅσον ἐστὶ βλαβερὸν διαφύγωμεν, τῆς μὲν τὸν ὄκνον, τῆς δὲ τὸ θράσος, ἵνα μήτε τῷ ἐλλείποντι ὦμεν ἄκαρποι, μήτε τῷ περιττεύοντι κινδυνεύωμεν. Ὁμοίως γὰρ ἄχρηστα καὶ νωθρότης ἄπρακτος καὶ θερμότης ἀπαίδευτος, ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τί δεξιώτερον.

---

**4** τῷ – ζέωμεν] Rom. 12, 11  μήποτε – θάνατον] Ps. 12, 4$^{2}$  **5** καθεύδουσιν – ἐχθρός] Matth. 13, 25 **7** ὁδοῦ – βασιλικῆς] Num. 20, 17 vel 21, 22

---

**3 – 15 II$^{1}$1860** GREGORIUS NAZIANZENUS, *De moderatione in disputando (Orat. 32)*, 6, 1–15 (ed. Moreschini, p. 96)

---

**2 – 15 II$^{1}$1860** K cap. Σ 1, 6 (241v[11]12–242r8); V cap. Σ 2, 7; *deest in* H$^{I}$; PG 96, 329, 32–47

---

**II$^{1}$1860** (a) K (b) *s. a.* V

---

**3** Τοῦτο – ὦμεν] μήποτε νωθρήσωμεν K  **4** μήποτε] μήτε K V$^{W}$  **5** ἢ] μὴ K V$^{W}$ ἐπισπείρει V  ὁ] *s. l.* K  **5 – 6** νωθεία] *scripsi*, νωθία V, νωθρία K  **6 – 7** σὺν – ἐκφερώμεθα] *om.* V$^{E}$V$^{O}$  **7** ἐκφερόμεθα V$^{W}$  τῆς$^{1}$ – βασιλικῆς] τῆς βασιλικῆς ὁδοῦ V$^{E}$V$^{O}$  **8** κέντρον K, κέντρου V$^{E}$V$^{O}$  **9** νωθείαν] *scripsi*, νοθείαν V$^{E}$V$^{O}$, νωθίαν V$^{W}$, νωθρίαν K  ἢ – θερμότητα] ἢ χαλινοῦ διὰ τὴν θερμότητα καὶ τοῦ μὴ *(*μη V$^{E}$*)* κρεμίζεσθαι *(sic)* V$^{E}$V$^{O}$  **10** χρήσιμόν ἐστι] χρήσιμον V$^{W}$  λαμβάνοντες V **14** ἐλλογίζουσα K  **15** τί] *om.* V$^{W\ p.\ ras.}$

## II[1]1861 / K cap. Σ 1, 7

Ἐκ τοῦ αὐτοῦ·

Μηδεὶς ἔστω πλέον ἢ καλῶς ἔχει σοφός, μὴ δὲ τοῦ νόμου νομιμώτερος, μὴ δὲ τοῦ κανόνος εὐθύτερος, μὴ δὲ τῆς ἐντολῆς ὑψηλότερος.

## II[1]1862 / K cap. Σ 1, 8

*II[2]2594 / P cap. Σ 15, 13

Ἐκ τοῦ αὐτοῦ·

Φεύγω δὲ ὅμως τὸ ἄμετρον καὶ κολάζω τὴν ἀμετρίαν· καὶ ἀργὸς εἶναι τοῦ δέοντος μᾶλλον ἢ περίεργος δέ<χ>ομαι, ἂν μὴ ἀμφότερα διαφυγεῖν ἐξῇ, καὶ τοῦ μετρίου τυγχάνειν, καὶ δειλότερος μᾶλλον τοῦ δέοντος ἢ θρασύτερος.

## II[1]1863 / K cap. Σ 1, 9

<Σχόλιον·>

Ἔστιν καὶ εἰς τὸ Γ στοιχεῖον εἰς τὸν α′.

---

**14** Locum praecedentem non repperi in II[1] / K cap. Γ 1, ubi autem locus sequens adfertur (cf. II[1]561 / K cap. Γ 1, 16)

---

**3 – 5 II[1]1861** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 7, 1–3 (ed. Moreschini, p. 98) **8 – 11 II[1]1862** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 20, 16–20 (ed. Moreschini, p. 128) **14 II[1]1863** *Scholion*

---

**2 – 5 II[1]1861** K cap. Σ 1, 7 (242r[8]9–11); V cap. Σ 2, 5; *deest in* H[I]; PG 96, 329, 25–27 **7 – 11 II[1]1862** K cap. Σ 1, 8 (242r[11]12–16); *deest in* V H[I] **13 – 14 II[1]1863** K cap. Σ 1, 9 (242r17); *deest in* V H[I]

---

**II[1]1861** (a) K (b) Τοῦ Θεολόγου V Τοῦ] *om.* V[W] **II[1]1863** Σχόλιον] *supplevi*, *om.* K

---

**3** ἢ] εἰ K[p. c. in mg.] καλὸς V[W] σοφῶς V[E]V[O] **4** μὴ δὲ[1]] μήτε V μὴ δὲ[2]] μήτε V **9** δέχομαι] *correxi (ed.)*, δέομαι K **10** ἐξῇ] *correxi (ed.)*, ἐξῆν K τυγχάνειν] *correxi (ed.)*, τυγχάνηι K **14** τὸν] *scripsi (sc.* τίτλον*)*, τὴν K

## II$^1$1864 / K cap. Σ 1, 10

Ἐκ τοῦ αὐτοῦ·

Σοφία καὶ τὸ γινώσκειν ἑαυτόν, ἀλλὰ μὴ ὑπεραίρεσθαι, μὴ δὲ ταὐτὸν ταῖς φωναῖς πάσχειν, αἵ παντελῶς ἐκλείπουσιν, ἐὰν ὑπερφωνῶνται δι᾽ ἀμετρίαν.

## II$^1$1865 / K cap. Σ 1, 11

Ἐκ τοῦ αὐτοῦ·

Κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν ἢ τὸ πᾶν ἐλλείπειν· οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ᾽ ὁ μὴ βουληθεὶς ὑπαίτιος, κἀν τοῖς θείοις ὁμοίως κἀν τοῖς ἀνθρωπίνοις πράγμασιν.

***II$^2$2596 / PML$^b$ cap. Σ 15, 15**

## II$^1$1866 / K cap. Σ 1, 12

Ἐκ τοῦ εἰς τοὺς μονάζοντας·

Οὔτε νωθρότερον εἶναι τοῦ μετρίου καλόν, οὔτε θερμότερον, ὡς ἢ δι᾽ εὐκολίαν πᾶσι συμφέρεσθαι, ἢ δι᾽ ἀταξίαν πάντων ἀποστα-

---

**8 – 10** Κρεῖσσον – ὑπαίτιος] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 7.17./14. (ed. Ihm, p. 163–164)

---

**3 – 5 II$^1$1864** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 21, 23–25 (ed. Moreschini, p. 130) **8 – 10 II$^1$1865** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 1, 6–9 (ed. Moreschini, p. 82) **13 – 1011, 2 II$^1$1866** Gregorius Nazianzenus, *De pace I ob monachorum reconciliationem (Orat. 6)*, 20, 5–8 (ed. Calvet-Sebasti, p. 170–172)

---

**2 – 5 II$^1$1864** K cap. Σ 1, 10 (242r[17]18–21); V cap. Σ 2, 6; *deest in* H$^I$; PG 96, 329, 28–31 **7 – 10 II$^1$1865** K cap. Σ 1, 11 (242r[21]22–242v2); V cap. Σ 2, 8; *deest in* H$^I$; PG 96, 329, 48 – 332, 2 **12 – 1011, 2 II$^1$1866** K cap. Σ 1, 12 (242v[2]3–7); V cap. Σ 2, 9; *deest in* H$^I$; PG 96, 332, 3–6

---

**II$^1$1864** (a) K (b) Τοῦ αὐτοῦ V$^W$ (c) *s. a.* V$^E$V$^O$ **II$^1$1865** (a) K (b) Τοῦ αὐτοῦ V$^W$ (c) *s. d.* V$^E$V$^O$ **II$^1$1866** (a) K (b) Τοῦ αὐτοῦ V$^W$ (c) *s. a.* V$^E$V$^O$

---

**3** καὶ] *om.* K **4 – 5** ὑπὲρ φῶνται V$^E$, ὑπερφῶνται V$^O$ **5** διάμετρίαν V$^W$, διαμετρῖαν V$^O$, διὰ τὴν ἀμετρίαν K **8** ἐλλείπειν] ἐληπεῖν V$^E$V$^O$ **9** βουλεθῆς V$^W$ **14** ἢ$^1$] εἰ K$^{p.\ c.\ ut\ videtur}$ V$^W$ πάντων] *add.* τῶν V$^O$ *(sed cancellav.)*

τεῖν· ὁμοίως γὰρ καὶ τὸ νωθὲς ἄπρακτον, καὶ τὸ εὐκίνητον ἀκοινώνητον.

## II$^{1}$1867 / K cap. Σ 1, 13

**cf. *II$^{2}$2593 / PML$^{b}$ cap. Σ 15, 12**

Ἐκ τοῦ εἰς τὸν ἀδελφὸν ἐπιταφίου·

Καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν.

## II$^{1}$1868 / K cap. Σ 1, 14

***II$^{2}$2588 / PML$^{b}$ cap. Σ 15, 7**

Ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Αἱρετώτερον ἐμοὶ ἐπὶ γῆς ἀνέχοντι ζῆν οὕτως ὅπως <ἂν> δύνωμαι σὺν ὀλίγῃ καὶ μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναρρίπτειν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσι κίνδυνον. Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μὴ δὲ εἰς πλείους διατείνειν τὴν ἀρετήν, ἀλλ᾽ ἐπὶ μικρῶν ἵστασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα ἢ πανοπλίᾳ νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ ἀσφάλεια, μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποθέντα, γέλωτα ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον, ὥσπερ δὴ καὶ πύργον οἰκοδομεῖν οὐκ ἄλλῳ τινὶ προσῆκεν ἢ ὃς *ἔχει τὰ πρὸς ἀπαρτισμόν* ἠκούσαμεν.

---

**17** Luc. 14, 28

---

**5 II$^{1}$1867** Gregorius Nazianzenus, *Funebris in laudem Caesarii fratris oratio (Orat. 7)*, 17, 2 (ed. Calvet-Sebasti, p. 220) **8 II$^{1}$1868** Αἱρετώτερον – ἀνέχοντι] Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 100, 5 (ed. Bernardi, p. 220) **8 – 18** ζῆν – ἠκούσαμεν] Ibid., 100, 7 – 101, 8 (p. 220)

---

**4 – 5 II$^{1}$1867** K cap. Σ 1, 13 (242v[7]8); *deest in* V H$^{I}$ **7 – 18 II$^{1}$1868** K cap. Σ 1, 14 (242v[8]9–23); *deest in* V H$^{I}$

---

**1** τὸ$^{1}$] τὸν V$^{O}$ **8** ἀνέχοντι] *correxi (ed.)*, νήχοντι K ἂν] *supplevi (ed.)*, *om.* K **13** πανοπλίᾳ νεανικῇ] *correxi (ed.)*, πανοπλία νεανικὴ K **14** περισκέποντα] *correxi (ed.)*, περισκέπουσα K μικρῷ] *correxi (ed.)*, μικρὰ K$^{a.c.}$, μικρᾶι K$^{p.c.}$ ἀσφάλεια] *correxi (ed.)*, ἀσφαλεία K **17** προσῆκεν] *sic* K *et codd. plerique Gregorii*, προσῆκον *coniec. Bernardi*

## II[1]1869 / K cap. Σ 1, 15

Ἐκ τοῦ εἰς τὰ Φῶτα·

Ὁμοίως ἐστὶ κακὸν καὶ ἄνεσις ἀσωφρόνιστος καὶ κατάγνωσις ἀσυγχώρητος, ἡ μὲν ὅλην ἀφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ κατάγχουσα.

***II[2]2595 / PML[b] cap. Σ 15, 14**

## II[1]1870 / K cap. Σ 1, 16

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν πατέρα·

Εὐσεβείας ἐστὶ καὶ ἀσφαλείας, μετρῆσαι τῇ δυνάμει τὴν λειτουργίαν, καὶ ὥσπερ τροφῆς τὴν μὲν κατὰ δύναμιν προ<σί>εσθαι, τὴν δὲ ὑπὲρ δύναμιν ἀποπέμπεσθαι· οὕτω γὰρ σώματι μὲν εὐεξία, ψυχῇ δὲ ἀσφάλεια τὸ μετριάζειν <ἐν> ἀμφοτέροις.

## II[1]1871 / K cap. Σ 1, 17

Ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Ὁρῶν μὲν ὅτι τὸ μὲν ἁπαλὸν ἔκλυτον καὶ μαλακίζον, τὸ δὲ αὐστηρὸν τραχὺ καὶ αὐθαδι<ά>ζον, ἀμφοτέροις βοηθεῖ δι᾽ ἀλλήλων, ἐπιεικείᾳ μὲν τὸ ἀντιτυπές, αὐστηρότητι δὲ τὸ ἁπαλὸν κερασάμενος.

---

**3 – 5 II[1]1869** Gregorius Nazianzenus, *In S. Lumina (Orat. 39)*, 18, 17–20 (ed. Moreschini, p. 190) **8 – 11 II[1]1870** Gregorius Nazianzenus, *In seipsum et ad patrem (Orat. 12)*, 5, 8–12 (ed. Calvet-Sebasti, p. 358) **14 – 17 II[1]1871** Gregorius Nazianzenus, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 40, 6–9 (ed. Bernardi, p. 212)

---

**2 – 5 II[1]1869** K cap. Σ 1, 15 (242v[23]24–243r3); *deest in* V H[I] **7 – 11 II[1]1870** K cap. Σ 1, 16 (243r[3]4–9); *deest in* V H[I] **13 – 17 II[1]1871** K cap. Σ 1, 17 (243r[9]10–14); *deest in* V H[I]

---

**9** τροφῆς] *correxi (ed.)*, τροφὴν K προσίεσθαι] *correxi (ed.)*, πρόεσθαι *(sic)* K **10 – 11** ψυχῇ] *correxi (ed.)*, ψυχῆς K **11** ἐν] *supplevi (ed.)*, *om.* K **15** αὐθαδιάζον] *correxi (ed.)*, αὐθαδίζον K **16** τὸ[1]] *s. l.* K

## II[1]1872 / K cap. Σ 1, 18

Ἐκ τοῦ αὐτοῦ·

Πᾶν μέτρον ἄριστον.

## II[1]1873 / K cap. Σ 1, 19

Ἐκ τοῦ πρὸς ἐπίγαμον παρθένον Ὀλυμπιάδα δι’ ἐπῶν κεφαλαίου·

| | |
|---|---|
| Τοὔνεκεν | Τούτου χάριν |
| ἢ πτερύγε<σ>σιν | ἢ πτεροῖς |
| ἀείρεο πάμπαν | κουφίζου παντελῶς |
| ἐλαφροῖς, | συμμέτροις, |
| Ἠὲ κάτω μίμνων, | ἢ κάτω μένων, |
| ἀσφαλέως τροχάειν, | ἀσφαλῶς ὁδεύειν, |
| Μήπου βριθοσύνῃ | ἵνα μὴ τῷ βάρει |
| σεῖο πτερὸν | τὸν σὸν πτερὸν |
| ἐς χθόνα νεύσῃ, | εἰς τὴν γῆν κλίνῃ, |
| Μὴ δὲ πέσῃς ἀρθεὶς | μὴ δὲ πέσῃς κουφισθεὶς |
| πτῶμ’ ἐλεεινότατον. | πτῶμα ἐλεεινόν. |
| Νηῦς ὀλί<γ>η | Ναῦς, πλοῖον μικρόν, |
| γόμφοισιν | σφηναρίοις |
| ἀρηραμένη | συνηρμοσμένη |
| πυκινοῖσι, | συνεχέσι, |
| Φόρτον ἄγει | γόμον βαστάζει |

**3 II[1]1872** Gregorius Nazianzenus, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 60, 4 (ed. Bernardi, p. 254) **6 – 1014, 2 II[1]1873** Gregorius Nazianzenus, *Carmina*, re vera I,2,17 *(Variorum vitae generum beatitudines)*, 49–54; Paraphrasis A 1 (ed. Simelidis, p. 106; 248)

**2 – 3 II[1]1872** K cap. Σ 1, 18 (243r[14]15); V cap. Σ 2, 10; *deest in* H[I]; PG 96, 332, 7
**5 – 1014, 2 II[1]1873** K cap. Σ 1, 19 (243r[15]16–243v11); *deest in* V H[I]

**II[1]1872** (a) K (b) *s. a.* V[W] (c) *s. d.* V[E]V[O]

**7** πτερύγεσσιν] *scripsi (ed.)*, πτερύγεσιν K **9** ἐλαφροῖς] *sic* K, ἐλαφραῖς *ed.* **17** ὀλίγη] *scripsi (ed.)*, ὀλιὴ K **18** γόμφοισιν] *scripsi (ed.)*, γομφοῖσιν K

| | |
|---|---|
| μεγάλης πλείονα<br>τῆς ἀδέτου. | τῆς μεγάλης νηὸς πλείονα<br>τῆς ἀσυνδέτου. |

## II$^{1}$1874 / K cap. Σ 1, 20

Ἐκ τοῦ περὶ ἀρετῆς ἀνθρωπ<ε>ίας δι᾽ ἐπῶν κεφαλαίου·

| | |
|---|---|
| Αἰεί σοι τὸ βέλεμνον<br>ἐπὶ σκοπὸν<br>ἐν χειρὶ κείσθω·<br>Μηδὲν ὑπερπέμπειν<br>Χριστοῦ μεγάλοιο<br>ἐφετμῆς, | Ἀεί σοι τὸ βέλος<br>ἐπὶ τὸν σκοπὸν<br>ἐν χερσὶ κείσθω·<br>μηδὲν ὑπέρτερον πράττειν<br>ταῖς τοῦ Χριστοῦ τοῦ μεγάλου<br>ἐντολαῖς, |
| Μὴ δὲ μὲν<br>ἐντὸς ἄγειν·<br>ἀβλὴς <σ>κοπὸς<br>ἀμφοτέρωθεν.<br>Πολλάκι καὶ τὸ<br>περισσὸν [ὑπὲρ<br>παρὰ ἧττον]<br>ἀχρήϊον. | μὴ δὲ μὴν<br>ἐσώτερον φέρειν τοῦ<br>κανόνος καὶ ἀβλῆ τὸν σκοπὸν<br>ποιεῖν. Ἑκατέρωθε γὰρ<br>πολλάκις καὶ τὸ ὑπὲρ<br>περισσόν,<br>καὶ τὸ παρὰ καὶ ἧττον<br>ἄχρηστον. |

---

**5 – 18 II$^{1}$1874** Gregorius Nazianzenus, *Carmina*, I,2,9 *(De virtute)*, 121–124 (= *Carmen de virtute* Ib, 37–40 [ed. Palla, p. 94–95])

---

**4 – 18 II$^{1}$1874** K cap. Σ 1, 20 (243v[12]13–244r2); *deest in* V H$^{I}$

---

**II$^{1}$1874** ἀνθρωπείας] *scripsi*, ἀνθρωπίας K

---

**1** πλείονα$^{1}$] *correxi (ed.)*, νηὸς K **7** χειρὶ] *sic* K *et ed. in app. crit.*, χερὶ *ed.* **10** ἐφετμῆς] *correxi (ed.)*, ἀφ᾽ ἑτμῆς K **13** ἀβλὴς σκοπὸς] *correxi (ed.)*, ἀβλῆς κόπον K ἀβλῆ] *correxi*, ἀβλῆς K **16 – 17** ὑπὲρ – ἧττον$^{1}$] *delevi (ed.)* **18** ἀχρήϊον] *scripsi (ed.)*, ἀχρῆον K$^{a.c.}$, ἀχρῆιον K$^{p.c.}$

## II$^{1}$1875 / K cap. Σ 1, 21

Ἐκ τῶν τετραστίχων Γνωμῶν·

| | |
|---|---|
| Μὴ θερμὸν ἄττειν,<br>ἐμμένειν δ’<br>οἷς ἂν κρίνῃ<ς>. | Μὴ πάνυ σπουδαίως ὁρμᾶν,<br>ἐμμένειν δὲ<br>οἷστισιν ἐὰν δόξῃ σοι. |
| Κρεῖσσον προκόπτειν<br>ἢ τί κόπτειν τοῦ καλοῦ. | Βέλτιον προκόπτειν<br>ἢ τί ποτε ἀποκόψαι τοῦ καλοῦ. |
| Καὶ γὰρ κακοὺς καλοῦμεν<br>οὐχὶ τοὺς κάτω, | Καὶ γὰρ κακοὺς λέγομεν<br>οὐδαμῶς τοὺς κάτω, |
| Τοὺς δ’ ὅταν ὑψωθῶσι,<br><br>πίπτοντας μέγα. | ἐκείνους δὲ οἵτινες, ὅταν<br>ἐπαρθῶσιν ὑπέρμετρον,<br>πίπτουσι μέγα. |

## II$^{1}$1876 / K cap. Σ 1, 22

Ἐκ τῶν <δι>στίχων Γνωμῶν·

| | |
|---|---|
| Μήτε δικαιοσύνην<br>τιν’ ἀκαμπέα,<br>μήτε φρόνησιν | Μήτε δικαιοσύνην<br>τινὰ ἔχε ἀκαμπῆ,<br>μήτε σύνεσιν |
| Ἀγκυλόεσσαν ἔχειν·<br>μέτρον ἄριστον<br>ἅπαν. | ἐπικαμπῆ κέκτησο·<br>τοῦτο μέτρον χρήσιμόν ἐστιν<br>εἰς ἅπαν. |

**3 – 12 II$^{1}$1875** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 45–48 (PG 37, 931, 9–12) **15 – 20 II$^{1}$1876** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,31 *(Distichae sententiae)*, 41–42 (PG 37, 914, 1–2)

**2 – 12 II$^{1}$1875** K cap. Σ 1, 21 (244r[3]4–12); *deest in* V H$^{I}$ **14 – 20 II$^{1}$1876** K cap. Σ 1, 22 (244r[13]14–19); *deest in* V H$^{I}$

**II$^{1}$1875** τετραστίχων] *scripsi*, Δ'στίχων K **II$^{1}$1876** διστίχων] *scripsi*, στίχων K

**5** κρίνῃς] *correxi (ed.)*, κρίνηι K **10** ὅταν$^{1}$] ἡνίχ’ *ed.*

## II$^1$1877 / K cap. Σ 1, 23

Τοῦ αὐτοῦ, ἐκ τῶν ἐπιστολῶν·

Οὐκ ἄπληστοι περὶ τοῦ πάσχειν εὖ παρὰ τῶν φίλων ἡμεῖς, ἀλλὰ καὶ λίαν σύμμετροι, εἰ καὶ σὺ πρὸς τὸ ποιεῖν ἄφθονος.

## II$^1$1878 / K cap. Σ 1, 24

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ †τομῶν†, δι᾽ ἐπῶν·

Μέτρα φέρειν γὰρ ἄριστον, ἀμετρίη δὲ κάκιστον.

## II$^1$1879 / K cap. Σ 1, 25

Τοῦ μακαρίου Ἰωάννου, ἐκ τοῦ εἰς τὸν ἅγιον Βαβύλαν·

Τοιαύτη ἡ τοῦ Χριστοῦ σοφία, μήτε ἐλλειπῶς μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, πανταχοῦ δὲ τὴν συμμετρίαν φυλάττουσα.

---

**3 – 4 II$^1$1877** Gregorius Nazianzenus, *Epistulae*, CCXXXVII, 1 (ed. Gallay, II, p. 127) **7 II$^1$1878** Gregorius Nazianzenus, *Carmina*, I,1,4 *(De mundo)*, 86 (ed. Moreschini, p. 20) **10 – 11 II$^1$1879** Iohannes Chrysostomus, *De Babyla contra Iulianum et gentiles*, 36, 1–3 (ed. Schatkin/Blanc/Grillet, p. 136)

---

**2 – 4 II$^1$1877** K cap. Σ 1, 23 (244r[20]21–23); *deest in* V H$^I$ **6 – 7 II$^1$1878** K cap. Σ 1, 24 (244r[23]24); *deest in* V H$^I$ **9 – 11 II$^1$1879** K cap. Σ 1, 25 (244v[1]2–4); V cap. Σ 2, 11; *deest in* H$^I$; PG 96, 332, 8–10

---

**II$^1$1878** †τομῶν†] *cruces apposui*, *sic* K, κόσμου *ed.* **II$^1$1879** (a) K (b) Τοῦ Χρυσοστόμου V$^E$V$^O$ (c) *s. a.* V$^W$

## II$^{1}$1880 / K cap. Σ 1, 26

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας, ἐκ τοῦ ιη′ λόγου τῶν κατὰ Ἰουλιανοῦ·

Ἐν τῷ Μηδὲν ἄγαν εἶναι τὸ εὖ ἔχον, ἐν δὲ τῷ περιττῷ τὰς διαβολάς…

## II$^{1}$1881 / K cap. Σ 1, 27

Κλήμεντος, ἐκ τοῦ α′ Στρώματος·

Ὡς ζῷα λογικὰ σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως, τὸ αὐστηρὸν τῆς σπουδῆς <ἡμῶν καὶ> τὸ ὑπέρτονον ἀνιέντας καὶ διαχέοντας ἐμμελῶς, καὶ οὐκ ἐκλύοντας ἐκμελῶς.

## II$^{1}$1882 / K cap. Σ 1, 28

Ἰσιδώρου Πηλουσιώτου, ἐκ τῶν ἐπιστολῶν·

Σύμμετρος ἔστω τῆς ἀρετῆς ὁ πόνος, ἵνα μὴ ἄμετρος γένηται τῆς μεταβολῆς ὁ τρόπος.

---

**4** e. g. Plat., *Prot.*, 343b3

---

**4 – 5 II$^{1}$1880** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XVIII (?) (fr. 57, ed. Kinzig/Brüggemann, p. 804) **8 – 10 II$^{1}$1881** Clemens Alexandrinus, re vera *Paedagogus*, II. Cap. V. 46, 2 (ed. Stählin/Treu, p. 185, 25–27); Holl, n° 193 **13 – 14 II$^{1}$1882** Isidorus Pelusiota, *Epistulae*, II, 45 (PG 78, 488, 4–5)

---

**2 – 5 II$^{1}$1880** K cap. Σ 1, 26 (244v[4–5]6–7); *deest in* V H$^{I}$; PG 86, 2089, 44–47 **7 – 10 II$^{1}$1881** K cap. Σ 1, 27 (244v[7]8–11); *deest in* V H$^{I}$; PG 86, 2089, 48–51 **12 – 14 II$^{1}$1882** K cap. Σ 1, 28 (244v[11]12–13); V cap. Σ 2, 12; *deest in* H$^{I}$; PG 96, 332, 11–12

---

**II$^{1}$1882** (a) K (b) Ἰσιδώρου V$^{E}$V$^{O}$ ἰσηδω V$^{E}$, ισηδ V$^{O}$ (c) Χρυσοστόμου V$^{W}$

---

**8** αὑτοὺς] *scripsi (ed.)*, αὐτοὺς K **9** ἡμῶν καὶ] *supplevi (ed.)*, *om.* K

## II$^1$1883 / K cap. Σ 1, 29

Φίλωνος, [ἐκ τοῦ] ἐκ τῶν ἐν Γενέσει ζητημάτων·

Ἄξιον ἀποδέχεσθαι τὸ μηδενὸς ὀρέγεσθαι τῶν ὑπὲρ δύναμιν· πᾶν γὰρ τὸ συμμετρίαν ἔχον, ἐπαινετόν. Ἀναγκαῖον οὖν τῷ μὲν εὐφυεῖ πλείους εἶναι τὰς διδασκαλίας, ἐλάττους δὲ τῷ ἀφυεῖ, διὰ τὴν ἐν ταῖς ἀναλογίαις ἀρίστην ἰσότητα. Καὶ τοῦτό γε ἐστι τὸ βιωφελέστατον ἴσον.

## II$^1$1884 / K cap. Σ 1, 30

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φυγῆς καὶ εὑρέσεως·

Πᾶν τὸ ὑπὲρ δύναμιν ἐπιτάσει σφοδρότητος ἀπορρυή<σε>ται.

## II$^1$1885 / K cap. Σ 1, 31

Ἐκ τοῦ περὶ μέθης·

Ὥσπερ τῶν τελειοτάτων ἀγαθῶν αἴτιόν ἐστι ἡ συμμετρία, οὕτω τῶν μεγίστων κακῶν ἀμετρία, τὸν ὠφελιμώτατον λύουσα θεσμὸν ἰσότητος.

---

**3 – 4** Ἄξιον – ἐπαινετόν] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 13.-./16a. (ed. Ihm, p. 334–335)

---

**3 – 7 II$^1$1883** PHILO IUDAEUS, *Quaestiones in Genesim*, IV. 102 (ed. Petit, p. 177) **10 II$^1$1884** PHILO IUDAEUS, *De fuga et inventione*, 146 (ed. Wendland, p. 141, 17) **13 – 15 II$^1$1885** PHILO IUDAEUS, *De ebrietate II*, Fr. 7 (ed. Wendland, p. 24); Royse 179.124

---

**2 – 7 II$^1$1883** K cap. Σ 1, 29 (244v[13–14]15–20); *deest in* V H$^I$; PG 86, 2089, 52 – 2092, 5 **9 – 10 II$^1$1884** K cap. Σ 1, 30 (244v[20–21]22–23); *deest in* V H$^I$ **12 – 15 II$^1$1885** K cap. Σ 1, 31 (244v[23]24–245r2); *deest in* V H$^I$

---

**II$^1$1883** ἐκ τοῦ] *delevi*

---

**3** τὸ] τῶ K$^{a.\,c.\ in\ mg.}$ **6 – 7** βιωφελέστατον] *scrips. Mai*, βιοφελέστατον K **10** ἀπορρυήσεται] *coniec. Mangey*, ἀπορρυεῖται K *(signo quo solebant scribae ad textum in mg. referre super -εῖ- superscripto)*, ἀπορρήττεται *Wendland* **14** *ante* ἀμετρία *hab.* ἡ *ed.* ὠφελιμώτατον] *scrips. Wendland*, ὀφελιμώτατον K

## II[1]1886 / K cap. Σ 1, 32

Ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ὑπερβολαὶ καὶ ἐλλείψεις ἀνισότητα ἐγέννησαν· ἀνισότης δέ, ἵνα αὐτὸς μυθικώτερον χρήσωμαι τοῖς ὀνόμασιν, μήτηρ ἀδικίας ἐστίν, ὡς ἔμπαλιν ἰσότης δικαιοσύνης. Ὑπερβολῆς δὲ καὶ ἐλλείψεως μέσον τὸ αὔταρκες, ἐν ᾧ τὸ ἱερὸν γράμμα περιέχεται, τὸ Μηδὲν ἄγαν.

## II[1]1887 / K cap. Σ 1, 33

Ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Τὰ μέτρα πλεονάζοντα τὸν ὅρον ὑπερβαίνει, ὡς γίνεσθαι τὴν μὲν ἄμετρον φρόνησιν πανουργίαν, τὴν δὲ σωφροσύνην φειδωλίαν, τὴν δὲ ἀνδρ<ε>ίαν θρασύτητα.

---

**6 – 7** e. g. Plat., *Prot.*, 343b3

---

**3 – 7 II[1]1886** PHILO IUDAEUS, *Quaestiones in Exodum*, I. 6 (ed. Petit, p. 235) **10 – 12 II[1]1887** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 301.24); Royse 177.79

---

**2 – 7 II[1]1886** K cap. Σ 1, 32 (245r[2]3–8); *deest in* V H[I]; PG 86, 2092, 6–12 **9 – 12 II[1]1887** K cap. Σ 1, 33 (245r[8]9–12); *deest in* V H[I]; PG 86, 2092, 13–17

---

**12** ἀνδρείαν] *scrips. Petit*, ἀνδρίαν K

**Τίτλος β′ Περὶ σοφίας κοσμικῆς.**

**θ′ Περὶ σοφίας κοσμικῆς.**

**κγ′ Περὶ σοφίας κοσμικῆς.**

## II$^{1}$1888 / K cap. Σ 2, 1

Ἡσαΐου προφήτου·

Ἀπολῶ σοφοὺς ἐν τῇ Ἰδουμαίᾳ, λέγει κύριος· ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.

## II$^{1}$1889 / K cap. Σ 2, 2

Ἱερεμίου προφήτου·

Ἠσχύνθησαν σοφοὶ καὶ ἐπορεύθησαν καὶ ἑάλωσαν, ὅτι λόγον κυρίου ἀπεδοκίμασαν.

---

**1** Περὶ – κοσμικῆς] cf. II$^{1}$ / K$^{pin}$ Παραπομπὴ K 6

---

**6** **II$^{1}$1888** Ἀπολῶ – κύριος] Is., re vera Abd. 8 (Wahl, *Prophetenzitate*, p. 222) **6 – 7** ἀπολῶ – ἀθετήσω] Is. 29, 14 (Wahl, p. 359) **10 – 11** **II$^{1}$1889** Ier. 8, 9 (Wahl, *Prophetenzitate*, p. 512–513)

---

**1** **Titlos (a)** K (245r12) **2** **Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **3** **Titlos (c)** PM$^{pin}$ L$^{b\ pin}$ E R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ **5 – 7** **II$^{1}$1888** K cap. Σ 2, 1 (245r[mg]13–15); V$^{E}$V$^{O}$ cap. Σ 9, 1; V$^{W}$ cap. Σ 9, 1–2; P cap. Σ 23, 1–2; E cap. 225, 1–2; R cap. Σ 23, 1; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 340, 36–38 **9 – 11** **II$^{1}$1889** K cap. Σ 2, 2 (245r[15]16–17); V$^{E}$V$^{O}$ cap. Σ 9, 2; V$^{W}$ cap. Σ 9, 3; P cap. Σ 23, 3; E cap. 225, 3; R cap. Σ 23, 2; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 340, 39–40

---

**2** **Titlos (b)** θ′] η′ V$^{E\ pin}$V$^{O\ pin}$ *(θ′ exspectav.), propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(θ′ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ **3** **Titlos (c)** κγ′] κε′ E, *praem.* τίτλος R$^{txt}$ κοσμικῆς] *add.* ἡσαΐου προφήτου R$^{pin}$

---

**II$^{1}$1888** (a) K (b) Ἡσαΐου V$^{E}$V$^{O}$ R (c) Ἡσαΐου / *s. a.* V$^{W}$ P E *(cf. infra, app. crit. text.)* ἡσαϊου P **II$^{1}$1889** (a) K (b) Ἱερεμίου V$^{E}$V$^{O}$ P E R ϊηρεμίου P (c) *s. a.* V$^{W}$

---

**6** Ἀπολῶ – κύριος] *om.* R Ἰδουμαίᾳ] ἰδουμαῖα V$^{W}$, ϊδουμαια P κύριος] *hic caesura in* V$^{W}$ P E **7** τῶν$^{2}$] *add.* λέγει κύριος V$^{W\ p.\ ras.\ attributionis\ loci\ sequentis}$ P R E **10** Ἠσχύνθησαν] ἠ- *e corr.* V$^{W}$, ἰσχύνθησαν V$^{E}$ ἑάλωσαν V$^{E}$V$^{O}$, εαλωσαν P, ἐλάλησαν V$^{W}$

## II$^1$1890 / K cap. Σ 2, 3

Τοῦ αὐτοῦ·

Ἐν πᾶσι τοῖς σοφοῖς τῶν ἐθνῶν καὶ ἐν πάσαις ταῖς βασιλείαις αὐτῶν, πόθεν ὅμοιός σοι, κύριε; Καὶ εἰς ἅπαξ ἀσυνετισθήσονται καὶ ἀνοητισθήσονται, καὶ παιδεία ματαιότητος ἐν αὐτοῖς.

## II$^1$1891 / K cap. Σ 2, 4

Ἀπὸ τοῦ Βαρούχ·

Καὶ υἱοὶ Ἄγαρ, ἐκζητοῦντες τὴν σύνεσιν τὴν ἐπὶ τῆς γῆς, οἱ μυθολόγοι καὶ ἐκζητηταὶ τῆς συνέσεως, ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν, οὐδὲ ἐμνήσθησαν τῶν τρίβων αὐτῆς.

## II$^1$1892 / K cap. Σ 2, 5

Σοφία Σολομῶντος·

Πλανῶνται,
θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν·
ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσι,
καὶ πείθονται τῇ ὄψει ὅτι καλὰ τὰ βλεπόμενα.
Πάλιν δὲ οὐδ' αὐτοὶ συγγνωστοί·
εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι
ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα,

---

**3 – 5 II$^1$1890** Ier. 10, 7–8 app. crit. (Wahl, *Prophetenzitate*, p. 520) **8 – 10 II$^1$1891** Bar. 3, 23 (Wahl, *Prophetenzitate*, p. 592) **13 – 1022, 2 II$^1$1892** Sap. 13, 6$^2$–10$^1$

---

**2 – 5 II$^1$1890** K cap. Σ 2, 3 (245r[17]18–21); *deest in* V H$^I$ PM$^{(lac.)}$ L$^b$ R E **7 – 10 II$^1$1891** K cap. Σ 2, 4 (245r[mg]22–245v1); V$^E$V$^O$ cap. Σ 9, 3; V$^W$ cap. Σ 9, 4; P cap. Σ 23, 4; *deest in* H$^I$ M$^{(lac.)}$ L$^b$ R E; PG 96, 340, 41–44 **12 – 1022, 2 II$^1$1892** K cap. Σ 2, 5 (245v[1]2–9); V$^E$V$^O$ cap. Σ 9, 4; V$^W$ cap. Σ 9, 5; P cap. Σ 23, 5; *deest in* H$^I$ M$^{(lac.)}$ L$^b$ R E; PG 96, 340, 45–51

---

**II$^1$1891** (a) K (b) Βαρούχ V P βαράχ V$^E$ **II$^1$1892** (a) K (b) Σολομῶντος V P

---

**8** ἀγαρ P **8 – 9** θυμολόγοι V$^E$V$^O$ **9** ἐκζητητὲ V$^E$V$^O$, ἐκζητειτε P ἐπέγνωσαν K **10** αὐτῆς] *e corr.* P, αὐτῶν V$^W$ **17** δὲ οὐδ'] οὐδὲ V$^E$V$^W$V$^{O\ p.c.}$ P, οὐδὲν V$^{O\ a.c.}$ σύγγνωστοι K, συνγνωστοι P, συγγνωστέοι V$^E$V$^O$

τὸν τούτου δεσπότην πῶς τάχιον οὐχ᾿ εὗρον; Ταλαίπωροι, καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν.

## II$^1$1893 / K cap. Σ 2, 6

Ἐκ τῆς πρὸς Κορινθίους <α′> ἐπιστολῆς·

Γέγραπται· *Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.* Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν, ηὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

## II$^1$1894 / K cap. Σ 2, 7

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Εἰ ζῆλον πικρὸν καὶ ἐριθείαν ἔχετε ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ᾿ ἐπίγειος ψυχὴ καὶ δαιμονιώδης· ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον

---

**5 – 6** Is. 29, 14

---

**5 – 10 II$^1$1893** I Cor. 1, 19–21 **13 – 1023, 4 II$^1$1894** Iac. 3, 14–18

---

**4 – 10 II$^1$1893** K cap. Σ 2, 6 (245v[9]10–17); V$^{E}$V$^{O}$ cap. Σ 9, 5; V$^{W}$ cap. Σ 9, 6; P cap. Σ 23, 6; E cap. 225, 4; R cap. Σ 23, 3; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 341, 1–8 **12 – 1023, 4 II$^1$1894** K cap. Σ 2, 7 (245v[17]18–23); V$^{E}$V$^{O}$ cap. Σ 9, 6; V$^{W}$ cap. Σ 9, 7; P cap. Σ 23, 7; R cap. Σ 23, 4; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ E; PG 96, 341, 9–18

---

**II$^1$1893** (a) K α′] *supplevi*, *om.* K (b) Πρὸς Κορινθίους α′ V$^{E}$V$^{O}$ P R α′] *om.* V$^{E}$V$^{O}$ (c) Τοῦ Ἀποστόλου V$^{W}$ E Τοῦ] *om.* E **II$^1$1894** (a) K P R ἰακώβου P (b) Ἐκ τῆς Ἰακώβου V$^{E}$V$^{O}$ (c) Ἰακώβου V$^{W}$

---

**2** Ταλαίπωροι] *praem.* οἱ K **5** Γέγραπται] *add.* γὰρ *(*γαρ P*)* P R E **6** σοφῶς V$^{E}$V$^{O}$ συζητιτῆς V$^{E}$, σύζητῆς V$^{O}$ **8** τούτου] *om.* V$^{E}$ **9** ηὐδοκισεν P, εὐδόκησεν V$^{E}$V$^{O}$ **13** ἐριθείαν] *scripsi (NT)*, ἐριθίαν K P, ἐρίθιαν V$^{W}$, ἐρίθειαν R, ἐρήθειαν V$^{E}$V$^{O}$ **13 – 14** κατακαυχᾶσθε] κατακαυχᾶσθαι *(*-χα- P*)* V$^{O\ a.\ c.}$ P **14** ψεύδεσθαι V$^{E}$V$^{O}$ κατὰ – ἀληθείας] ἐν τῇ ἀληθείᾳ V$^{E}$V$^{O}$ **14 – 15** αὕτη – σοφία] ἡ σοφία αὕτη K **15** ψυχὴ καὶ] ψυχικὴ *(*-η P*)* V$^{W}$ P R **16** ἐριθεία] *scripsi (NT)*, ἐριθία K, ἐρῒθια V$^{W}$, ἐρίθεια *(*ἐρι- P*)* P R, ἐρήθεια V$^{E}$V$^{O}$

πρᾶγμα. Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος, ἀνυπόκριτος. Καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

## II[1]1895 / K cap. Σ 2, 8

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὰς Παροιμίας·

Ῥητορικὴ καὶ ποιητικὴ καὶ ἡ τῶν σοφισμάτων εὕρεσις πολλοὺς ἀπησχόλησεν, ὧν ὕλη τὸ ψεῦδος ἐστίν. Οὔτε γὰρ ποιητικὴ συστῆναι δύναται ἄνευ τοῦ μύθου, οὔτε ῥητορικὴ ἄνευ τῆς ἐν τῷ λέγειν τέχνης, οὔτε σοφιστικὴ ἄνευ τῶν παραλογισμῶν.

## II[1]1896 / K cap. Σ 2, 9

Ἐκ τοῦ εἰς τὸν ριε′ ψαλμόν·

Ἐν τῇ τοῦ κόσμου σοφίᾳ ἔντεχνοί εἰσιν αἱ ἀποδείξεις· ἐν τῷ πιθανῷ ἔχουσι τὴν ἐλπίδα, καὶ οὐκ ἐν τῷ ἰσχυρῷ καὶ ἐναργεῖ τῆς τοῦ πνεύματος ἀποκαλύψεως, ἣν διὰ τῶν ἐν ἁπλότητι καρδίας ἀπεριεργάστως πεποιθότων θεῷ σωτηρίας ἕνεκεν τῶν πολλῶν ἐπιδείκνυται.

---

**7 – 10 II[1]1895** Basilius Caesariensis, *Homilia in principium Proverbiorum*, 6 (PG 31, 397, 22–27) **13 – 17 II[1]1896** (Ps.-)Basilius Caesariensis, *Homilia in Psalmum CXV*, 1 (PG 30, 104, 34–39)

---

**6 – 10 II[1]1895** K cap. Σ 2, 8 (245v[24]246r1–6); $V^E V^O$ cap. Σ 9, 7; $V^W$ cap. Σ 9, 8; P cap. Σ 23, 8; R cap. Σ 23, 5; *deest in* $H^I$ $M^{(lac.)}$ $L^b$ E; PG 96, 341, 19–23 **12 – 17 II[1]1896** K cap. Σ 2, 9 (246r[6]7–12); *deest in* V $H^I$ $PM^{(lac.)}$ $L^b$ R E

---

**II[1]1895** (a) K P R ἐκ τοῦ] *om.* P (b) Βασιλείου V

---

**1 – 4** Ἡ – εἰρήνην] *om.* K **2 – 4** εὐπειθής – εἰρήνην] καὶ τὰ λοιπά $V^W$ **2 – 3** ἀδιάκριτος] *add.* καὶ R **7** καὶ[2]] *om.* P R ἡ] *s. l.* K, *om.* P R **8** ἀπεσχόλησεν (-σχο- P*)* V P **9** δύνατε $V^E V^O$ τῷ] τὸ P **16 – 17** ἐπιδείκνυται] *correxi (ed.)*, ἐπιδείκνυνται K

## II$^1$1897 / K cap. Σ 2, 10

Ἐκ τοῦ α′ λόγου τῆς Ἑξαημέρου·

Ἡ περιουσία τῆς τοῦ κόσμου σοφίας, προσθήκην αὐτοῖς οἴσει ποτὲ τῆς χαλεπῆς κατακρίσεως, ὅτι οὕτως ὀξὺ περὶ τὰ μάταια βλέποντες, ἑκόντες περὶ τὴν σύνεσιν τῆς ἀληθείας ἀπετυφλώθησαν.

## II$^1$1898 / K cap. Σ 2, 11

Ἐκ τοῦ η′ λόγου τῆς Ἑξαημέρου·

Ἐοίκασι τοῖς ὄμμασι τῆς γλαυκὸς οἱ περὶ τὴν ματαίαν σοφίαν ἠσχολακότες· καὶ γὰρ ἐκείνης αἱ ὄψεις νυκτὸς μὲν ἔρρωνται, ἡλίου δὲ λάμψαντος, ἀμαυροῦνται. Καὶ τούτων ἡ διάνοια ὀξυτάτη μέν ἐστι πρὸς τὴν τῆς ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατανόησιν ἐξημαύρωται.

---

**8 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.7./7. (ed. Ihm, p. 398–399)

---

**3 – 5 II$^1$1897** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, I, 4 (ed. Mendieta†/Rudberg, p. 7, 11–13) **8 – 12 II$^1$1898** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VIII, 7 (ed. Mendieta†/Rudberg, p. 141, 1–5)

---

**2 – 5 II$^1$1897** K cap. Σ 2, 10 (246r[12]13–17); V$^E$V$^O$ cap. Σ 9, 8; V$^W$ cap. Σ 9, 9; P cap. Σ 23, 9; E cap. 225, 5; R cap. Σ 23, 6; *deest in* H$^I$ M$^{(lac.)}$ L$^b$; PG 96, 341, 24–27 **7 – 12 II$^1$1898** K cap. Σ 2, 11 (246r[17]18–24); V$^E$V$^O$ cap. Σ 9, 9; V$^W$ cap. Σ 9, 10; P cap. Σ 23, 10; E cap. 225, 6; R cap. Σ 23, 7; *deest in* H$^I$ M$^{(lac.)}$ L$^b$; PG 96, 341, 28–33

---

**II$^1$1897** (a) K P (b) Τοῦ αὐτοῦ V$^W$ R (c) Βασιλείου E (d) *s. a.* V$^E$V$^O$ **II$^1$1898** (a) K (b) Ἐκ τοῦ η′ λόγου P (c) Τοῦ αὐτοῦ V$^W$ R (d) *s. a.* V$^E$V$^O$ E

---

**3 – 4** ποτὲ] *om.* V$^E$V$^O$ **4** ὅτι οὕτως] οἱ τοιούτοι *(sic)* V$^E$V$^O$ **5** ἑκοντὶ K **8** Ἐοίκασι] *add.* δὲ K **8 – 9** ἠσχολακότες] ἠσχοληκότες *(*ἠ- V$^E$*)* V$^E$V$^O$ R E, ἠσχολικότες P, ἐσχολακότες *e corr.* V$^W$ **9** ἔρρωνται] αἴρονται *(*αι- P*)* K P **12** ἐξημαύρωνται K E, -μαύρονται *(*-μαυ- P*)* V$^E$V$^O$V$^{W\ a.\ ras.}$ P, -μαύροται V$^{W\ p.\ ras.}$

## II[1]1899 / K cap. Σ 2, 12

Ἐκ τοῦ πρὸς νέους·

Καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τὸ καρπὸν βρύειν ὡραῖον, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα, οὕτω δὲ καὶ ψυχῇ προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷά τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα.

## <II[1]suppl. 374–376 / V cap. Σ 9, 10–12>

## II[1]1900 / K cap. Σ 2, 13

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

…Ἕλληνες, οἱ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ δὲ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύοντες.

---

**8 II[1]suppl. 374–376** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 7 II[1]1899** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, III, 2, 2–8 (ed. Naldini, p. 88) **11 – 13 II[1]1900** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 104, 8–10 (ed. Bernardi, p. 224)

---

**2 – 7 II[1]1899** K cap. Σ 2, 12 (246r[24]246v1–7); *deest in* V H[I] PM[(lac.)] L[b] R E **10 – 13 II[1]1900** K cap. Σ 2, 13 (246v[7–8]9–11); *deest in* V PM[(lac.)] L[b] R E

---

**3** ὡραῖον] *scripsi*, ὡραίων K **5** ψυχῇ] *correxi (ed.)*, ψυχὴ K οὐκ ἄχαρί γε] *correxi (ed.)*, οὐκαχαρῆγε K **6** θύραθεν] *correxi (ed.)*, θυραθὴν K **7** τῷ καρπῷ] *correxi (ed.)*, τῶν καρπῶν K ἄωρον] *scripsi (ed.)*, ἄορον K **12** λίχνῳ] *correxi (ed.)*, λύχνωι K

## II$^1$1901 / K cap. Σ 2, 14

Ἐκ τοῦ εἰς Βασίλειον ἐπιταφίου·

Παίδευσιν εἶναι ἡγοῦμαι οὐ μόνην τὴν πρώτην καὶ τῶν παρ’ ἡμῖν ἀγαθῶν μητέρα, ἣ τὸ ἐν τοῖς λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα, μόνης ἔχεται σωτηρίας καὶ τοῦ κάλλους τῶν νοουμένων, ἀλλὰ καὶ τὴν ἔξωθεν, ἣν οἱ πολλοὶ Χριστιανῶν διαπτύουσιν ὡς ἐπίβουλον καὶ σφαλερὰν καὶ τοῦ θεοῦ πόρρω βάλλουσαν, κακῶς εἰδότες. Ὥσπερ γὰρ οὐρανὸν καὶ γῆν καὶ ἀέρα καὶ ὅσα τούτων, οὐκ ἐπειδὴ κακῶς τινες ἐξειλήφασιν, ἀντὶ θεοῦ τὰ τοῦ θεοῦ σέβοντες, διατοῦτο περιφρονητέον, ἀλλ’ ὅσον χρήσιμον ἐξ αὐτῶν καρπούμενοι πρός τε ζωὴν καὶ ἀπόλαυσιν, ὅσον ἐπικίνδυνον διαφύγωμεν.

## II$^1$1902 / K cap. Σ 2, 15

<Καὶ> μετ’ ὀλίγα·

Ὡς δὲ καὶ πυρὸς καὶ τροφῆς καὶ σιδήρου καὶ τῶν ἄλλων οὐδὲν καθ’ ἑαυτὸ χρησιμώτατον ἴσμεν ἢ βλαβερώτατον, ἀλλ’ ὅπως ἂν δοκῇ τοῖς χρωμένοις – ἤδη δὴ καὶ τῶν ἑρπηστικῶν θηρίων ἔστιν ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν –, οὕτω καὶ τούτων τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν ἐδεξάμεθα, ὅσον δὲ εἰς δαίμονας φέρει καὶ πλάνην καὶ ἀπωλείας βυθόν, διεπτύσαμεν. Οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισίν, ἀλλὰ

---

**3 – 12 II$^1$1901** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 11, 1–12 (ed. Bernardi, p. 136–138) **15 – 20 II$^1$1902** Ὡς – διεπτύσαμεν] GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 11, 15–22 (ed. Bernardi, p. 138) **21 – 1027, 4** Οὔκουν – διαδιδράσκωσιν] IBID., 11, 25–29 (p. 138–140)

---

**2 – 12 II$^1$1901** K cap. Σ 2, 14 (246v[mg]12–23); *deest in* V H$^{\mathrm{I}}$ PM$^{\mathrm{(lac.)}}$ L$^{\mathrm{b}}$ R E **14 – 1027, 4 II$^1$1902** K cap. Σ 2, 15 (246v[mg]24–247r13); *deest in* V H$^{\mathrm{I}}$ PM$^{\mathrm{(lac.)}}$ R E

---

**II$^1$1902** Καὶ] *supplevi*, *propt. mg. resect. non liquet in* K

---

**4** ἣ] *correxi (ed.)*, ἡ K **11 – 12** διαφύγωμεν] διαφεύγομεν *ed.* **16** ἂν] *s. l.* K **17** ἑρπηστικῶν] *scripsi (ed.)*, ἑρπιστικῶν K **18** τοῖς] *s. l.* K **21** Οὔκουν] *correxi (ed.)*, ὀυκοῦν *(sic)* K ἀτιμαστέον] K$^{\mathrm{p.\,c.\,in\,mg.}}$ *(ἀτιμαστέον ἐν ἄλλ<ῳ>)*, ἀττέον K$^{\mathrm{a.\,c.}}$

σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας, οἳ βούλοιντ᾽ ἂν ἅπαντας εἶναι καθ᾽ ἑαυτούς, ἵν᾽ ἐν τῷ κοινῷ τὰ κατ᾽ αὐτοὺς κρύπτηται, καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν.

## $\mathrm{II}^{1}$1903 / K cap. Σ 2, 16

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ περὶ τελειότητος βίου·

Ἔστι τί καὶ τῆς ἔξωθεν παιδεύσεως πρὸς συζυγίαν εἰς τεκνοποιΐαν ἀρετῆς <οὐκ> ἀπόβλητον. Ἡ ἠθική τε καὶ φυσικὴ φιλοσοφία γένοιτο ἂν τῷ <ὑ>ψηλοτέρῳ <βίῳ> σύζυγός τε καὶ φίλη καὶ κοινωνὸς τῆς ζωῆς, μόνον εἰ τὰ ἐκ τούτων κυήματα μηδὲν ἐπαγάγοιτο ἀλλοφύλου μιάσματος.

## $\mathrm{II}^{1}$1904 / K cap. Σ 2, 17

Τοῦ μακαρίου Ἀμφιλοχίου, ἐκ τῆς πρὸς Σέλευκον ἰαμβικῆς ἐπιστολῆς·

Τούτοις δὲ πᾶσιν ἐμφρόνως ἐντύγχανε,
Σοφῶς ἑκάστου συλλέγων τὸ χρήσιμον,
Φεύγων δ᾽ ἑκάστου τὴν βλάβην κεκρυμμένως,
Σοφῆς μελίσσης ἔργον ἐκμιμούμενος,
Ἥτις ἐφ᾽ ἅπασι μὲν ἄνθεσι καθιζάνει,
Τρυγᾷ δ᾽ ἑκάστου πανσόφως τὸ χρήσιμον,
Αὐτὴν ἔχουσα τὴν φύσιν διδάσκαλον.

---

**7 – 11 $\mathrm{II}^{1}$1903** Gregorius Nyssenus, *De perfectione vitae (De vita Moysis)*, II (ed. Musurillo, p. 43, 21–26) **15 – 1028, 17 $\mathrm{II}^{1}$1904** Amphilochius Iconiensis, *Iambi ad Seleucum*, 38–61 (ed. Oberg, p. 30 [= p. 78–80])

---

**6 – 11 $\mathrm{II}^{1}$1903** K cap. Σ 2, 16 (247r[13–14]15–20); *deest in* V $\mathrm{H}^{\mathrm{I}}$ $\mathrm{PM}^{(\mathrm{lac.})}$ $\mathrm{L}^{\mathrm{b}}$ R E **13 – 1028, 17 $\mathrm{II}^{1}$1904** K cap. Σ 2, 17 (247r[21]22–247v19); *deest in* V $\mathrm{H}^{\mathrm{I}}$ $\mathrm{PM}^{(\mathrm{lac.})}$ $\mathrm{L}^{\mathrm{b}}$ R E

---

**8** οὐκ] *supplevi (ed.)*, *om.* K **9** ὑψηλοτέρῳ] *correxi (ed.)*, ψηλοτέρωι K βίῳ] *supplevi (ed.)*, *om.* K σύζυγός τε] *correxi (ed.)*, σύζυγεστε K φίλη] *correxi (ed.)*, φίλον K **9 – 10** κοινωνὸς] *correxi (ed.)*, κοινωνοὶ K **10** ζωῆς – τὰ] *correxi (ed.)*, ζωῆς μόνον· εἶτα K **15** ἐντύγχανε] *correxi (ed.)*, ἐντυγχάνει K **17** κεκριμένως *ed. (sed cf. app. crit.)* **18** μελίσσης] *scripsi*, μελλίσσης K **19** μὲν] *deest in ed.*

Σὺ δ’ ἐκ λογισμοῦ τῶν μὲν ἀφθόνως δρέπου,
Τῶν συμφερόντων· εἰ δέ τι βλάβην φέρει,
Συνεὶς τὸ βλάπτον, ὠκέως ἀφίπτασο.
Ὠκύ<π>τερος γάρ ἐστιν ἀνθρώποις ὁ νοῦς.
<Ὥσθ’> ὅσα μὲν αὐτοῖς εἰς ἀρετὴν ἐγκώμια
†Ὑμνεῖται, ταῦτ’ ἔγγραφε καὶ μὴν† τοὔμπαλιν
Κακίαν ψέγουσιν, ταῦτα σὺν σπουδῇ μαθών,
Καὶ νοῦν φύλασσε καὶ χάριν τῆς λέξεως.
Ἃ δ’ εἰς θεοὺς ἔγραψαν ἐν λήρῳ πλατεῖ,
Μύθους ἀσέμνους, δαιμόνων διδάγματα,
Μύθους γέλωτος ἀξίους καὶ δακρύων,
Ταῦθ’ ὡς βρόχους τε καὶ πάγας ἀποστρέφου.
Ἄμφω δ’ ἀναγνούς, τοὺς θεοὺς καὶ τοὺς λόγους,
Θεοὺς γελοίους καὶ λόγους ἐρασμίους,
Καταφρόνει μὲν τῶν φιληδόνων θεῶν,
Λόγους δὲ τιμῶν, ὥσπερ ἐξ ἑνὸς φυτοῦ,
Καὶ τὰς ἀκάνθας φεῦγε καὶ ῥόδον δρέπου.

## II$^{1}$1905 / K cap. Σ 2, 18

Τοῦ μακαρίου Κυρίλλου Ἀλεξανδρείας, ἐκ τοῦ ιθ′ λόγου τοῦ κατὰ Ἰουλιανοῦ·

Πολὺ λίαν παρὰ τοῖς ἔξω κεῖται τὸ τῆς εὐστομίας χρῆμα καὶ τὸ λαμπρὸν τῆς λέξεως· ἔνι δὲ ὅμως τῶν ὀνησιφόρων οὐδέν. Τὸν γὰρ φύσει θεὸν καὶ δημιουργὸν οὐκ ἔγνωσαν, ἀναριθμήτους δὲ θεοὺς τῷ βίῳ κομίζουσι.

---

**21 – 24 II$^{1}$1905** CYRILLUS ALEXANDRINUS, *Contra Iulianum imperatorem*, XIX (?) (fr. 66, ed. Kinzig/Brüggemann, p. 809)

---

**19 – 24 II$^{1}$1905** K cap. Σ 2, 18 (247v[19–20]21–248r2); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ R E; PG 86, 2092, 19–25

---

**II$^{1}$1905** Ἰουλιανοῦ] *scripsi*, ἰουλιανόν K

---

**1** τῶν] *correxi (ed.)*, τὸ K **4** Ὠκύπτερος] *correxi (ed.)*, ὠκύτερον K **5** Ὥσθ’] *supplevi (ed.)*, *om.* K ἀρετὴν] *correxi (ed.)*, ἀρετῆς K **6** †Ὑμνεῖται – μὴν†] *cruces apposui*, *sic* K *(locus vix intelligibilis)*, ὑμνοῦσιν αὐτὴν ἐγράφη καὶ *ed.* **9** εἰς θεοὺς] *om.* K *(in mg. supplev.)* **12** πάγας] *scripsi (ed.)*, παγὰς K

## II$^{1}$1906 / K cap. Σ 2, 19

Κλήμεντος, ἐκ τοῦ ϛʹ Στρώματος·

Οὐκ ἀφεκτέον τῆς φιλομαθίας ἀλόγων δίκην ζώων, πλείω δὲ ὡς ἔνι μάλιστα βοηθήματα τοῖς ἐπιοῦσιν ἐρανιστέον. Πλὴν οὐδαμῶς τούτοις ἐνδιατριπτέον, ἀλλ᾽ εἰς μόνον τὸ ἀπ᾽ αὐτῶν χρήσιμον, ὡς λαβόντας τοῦτο καὶ κτησαμένους, ἀπιέναι οἴκαδε δύνασθαι ἐπὶ τὴν ἀληθῆ φιλοσοφίαν, πεῖσμα τῇ ψυχῇ βέβαιον τὴν ἐκ πάντων ἀσφάλειαν πεπορισμένους.

## <II$^{1}$suppl. 377 / V cap. Σ 9, 13>

## II$^{1}$1907 / K cap. Σ 2, 20

Φίλωνος, ἐκ τοῦ αʹ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ἡ εὐφυΐα, πλεονάζουσα τῇ ῥύμῃ τῆς φορᾶς, πρὸς πολλὰ καὶ τῶν ἀλυσιτελῶν εἴωθε χωρεῖν· ἐν δὲ ταῖς διδασκαλίαις οὐκ ἐλάττω τὰ οὐκ ἀναγκαῖα τῶν ἀναγκαίων ἐστί. Διὸ προσήκει τὸν ἔφορον καὶ ψυχῆς ὑφηγητήν, ὥσπερ γεωργὸν ἀγαθόν, τὰ παραβλαστάνοντα περικόπτειν.

---

**9 II$^{1}$suppl. 377** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 8 II$^{1}$1906** Clemens Alexandrinus, *Stromata*, VI. Cap. XI. 89, 3 (ed. Stählin/Früchtel/Treu, p. 476, 21–26); Holl, n° 252 **12 – 16 II$^{1}$1907** Philo Iudaeus, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 301–302.25); Royse 175.36

---

**2 – 8 II$^{1}$1906** K cap. Σ 2, 19 (248r[2]3–10); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ R E **11 – 16 II$^{1}$1907** K cap. Σ 2, 20 (248r[11]12–17); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ R E; PG 86, 2092, 26–32

---

**6** ἀπιέναι] *correxi (ed.)*, ἀπεῖναι K

## II[1]1908 / K cap. Σ 2, 21

Ἐκ τοῦ περὶ μέθης β′·

Τοῖς ἀσκηταῖς σοφίας ἀνάγκη πρότερον ἐντυχεῖν τῇ νεωτέρᾳ παιδείᾳ, ἵνα τῆς τελειοτέρας αὖθις ἀπόνασθαι δυνηθῶσι. Παρ’ ὃ καὶ μέχρι νῦν οἱ καλοκἀγαθίας ἐρασταὶ οὐ πρότερον ἐπὶ τὰς τῆς πρεσβυτέρας ἀφικνοῦνται θύρας φιλοσοφίας, πρὶν ἢ ταῖς νεωτέραις ἐντυχεῖν.

## II[1]1909 / K cap. Σ 2, 22

Ἐκ τοῦ περὶ Μωσέως βίου·

Ἀμήχανον τὰ μεγάλα πρὸ τῶν μικρῶν παιδευθῆναι.

---

**10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.16./17. (ed. Ihm, p. 403)

---

**3 – 7 II[1]1908** Philo Iudaeus, *De ebrietate I*, 48–49 (ed. Wendland, p. 179, 11–15)
**10 II[1]1909** Philo Iudaeus, *De vita Mosis*, I, 62 (ed. Cohn, p. 134, 12–13)

---

**2 – 7 II[1]1908** K cap. Σ 2, 21 (248r[mg]18–24); *deest in* V H[I] PM[(lac.)] L[b] R E **9 – 10 II[1]1909** K cap. Σ 2, 22 (248r[24]248v1–2); *deest in* V H[I] PM[(lac.)] L[b] R E

---

**II[1]1908** β′] *sic* K

---

**4** ἀπόνασθαι] *correxi (ed.)*, ἀπωνᾶσθαι K

## Τίτλος γʹ Περὶ συνηθείας ἀγαθῆς καὶ κακῆς.

**$^{*}II^{2}$ / $PML^{b}$ cap. Σ 6**

## δʹ Περὶ συνηθείας.

### $II^{1}$1910 / K cap. Σ 3, 1

**$^{*}II^{2}$2493 / $PML^{b}$ cap. Σ 6, 8**

Σοφία Σολομῶντος·

Ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη.

### $II^{1}$1911 / K cap. Σ 3, 2

**$^{*}II^{2}$2489 / $PML^{b}$ cap. Σ 6, 4**

Ἀπὸ τοῦ Σιράχ·

Ἄνθρωπος συνηθιζόμενος λόγοις ὀνειδισμοῦ
ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ.

---

**8 – 9** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 69.7./40.7. (ed. Ihm, p. 1012–1013)

---

**5 $II^{1}$1910** Sap. 14, $16^{1}$ **8 – 9 $II^{1}$1911** Sir. 23, $15^{1-2}$ (Wahl, *Sirach-Text*, p. 110)

---

**1 Titlos (a)** K (248v2) **2 Titlos (b)** V $A^{I\ pin}$; *deest in* $H^{I}A^{I\ txt}$ **4 – 5 $II^{1}$1910** K cap. Σ 3, 1 (248v[2]3–4); V cap. Σ 4, 1; *deest in* $H^{I}$; PG 96, 332, 32–33 **7 – 9 $II^{1}$1911** K cap. Σ 3, 2 (248v[4]5–6); V cap. Σ 4, 2; *deest in* $H^{I}$; PG 96, 332, 34–35

---

**1 Titlos (a)** κακῆς] πονηρᾶς $K^{pin}$ **2 Titlos (b)** δʹ] *propt. mg. resect. non liquet in* $A^{I\ pin}$ *(δʹ secund. ser.)*, *praem.* τίτλος $V^{W\ txt}$ συνηθείας] συμπαθείας $V^{E\ txt}V^{O\ txt}$, *add.* πονηρᾶς $V^{W\ txt}$

---

**$II^{1}$1910** (a) K (b) Σολομῶντος V **$II^{1}$1911** (a) K (b) Σιράχ $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}$

---

**5** Ἐν] *om.* $V^{W}$ κρατηθὲν $V^{O}$ τὸ] *om.* $V^{W}$ ὡς] *om.* $V^{W}$ **8** συνειθιζόμενος K, -εθιζόμενος *LXX* λόγοις] λόγους K, *praem.* ἐν $V^{E}V^{O}$

## II$^1$1912 / K cap. Σ 3, 3

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὰς Παροιμίας·

Πολλοὶ ἀρχαίῳ ἔθει κεκρατημένοι, τὸ μυσαρὸν τῶν γινομένων οὐ διακρίνουσιν.

***II$^2$2500 / PML$^b$ cap. Σ 6, 15**

## II$^1$1913 / K cap. Σ 3, 4

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν μακαρίαν Ἰουλίτταν·

Ἔθους χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος· καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτοῦ καὶ ὁμόζυγος τελευτήσαντος. Καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφοδρῶς τῆς συνηθείας ἔστιν ἰδεῖν ἀντεχόμενα.

***II$^2$2499 / PML$^b$ cap. Σ 6, 14**

## II$^1$1914 / K cap. Σ 3, 5

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

Τὸ φιλοπόνως προσδιατρίβειν ταῖς ἁμαρτίαις ἕξιν τινὰ δυσκίνητον ταῖς ψυχαῖς ἐμποιεῖ. Παλαιωθὲν γὰρ ἔθος ψυχῆς καὶ κακοῦ μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσίατός ἐστιν ἢ καὶ ἀνίατος παντελῶς, εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους μεθισταμένου.

---

**3 – 4 II$^1$1912** Basilius Caesariensis, *Homilia in principium Proverbiorum*, 8 (PG 31, 401, 53–54) **7 – 10 II$^1$1913** Basilius Caesariensis, *Homilia in martyrem Iulittam*, 4 (PG 31, 248, 20–24) **13 – 16 II$^1$1914** Basilius Caesariensis, *Homilia in Psalmum I*, 6 (PG 29, 224, 40–45)

---

**2 – 4 II$^1$1912** K cap. Σ 3, 3 (248v[6–7]8–9); V cap. Σ 4, 3; *deest in* H$^I$; PG 96, 332, 36–37 **6 – 10 II$^1$1913** K cap. Σ 3, 4 (248v[9–10]11–15); V cap. Σ 4, 4; *deest in* H$^I$; PG 96, 332, 38–42 **12 – 16 II$^1$1914** K cap. Σ 3, 5 (248v[mg]16–21); V cap. Σ 4, 5; *deest in* H$^I$; PG 96, 332, 43–47

---

**II$^1$1912** (a) K (b) Βασιλείου V **II$^1$1913** (a) K (b) Τοῦ αὐτοῦ V$^W$V$^O$ (c) *s. a.* V$^E$ **II$^1$1914** (a) K (b) Τοῦ αὐτοῦ V$^E$V$^W$ (c) *s. a.* V$^O$

---

**3** ἀρχαίων V$^O$ ἔθη V$^E$V$^O$ κρατούμενοι K **7** χωρισμοὺς V$^O$ καί ποτε] καὶ γάρ ποτε K **7 – 8** ἴδον V$^W$, ἴδων K **8** δακρύσαντα V$^W$ **8 – 9** ὁμοζύγου V$^W$ **10** ἔστιν] ἐστὶν V$^E$V$^O$, *om.* K ἰδεῖν] *om.* V$^E$V$^O$ **13** πρὸς διατρίβειν V$^E$V$^O$, ἐνδιατρίβειν K **15** ἀνίατος] *post* παντελῶς *transpos.* V$^E$V$^O$ **16** μεθισταμένου] μεταπίπτοντος K

## II$^1$1915 / K cap. Σ 3, 6 *II$^2$2498 / PML$^b$ cap. Σ 6, 13

Ἐκ τοῦ πρὸς νέους·

Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός ἐστιν ἐπὶ τὰ πράγματα.

## II$^1$1916 / K cap. Σ 3, 7

Ἐκ τῶν κανονικῶν διατάξεων·

Ἔθος διὰ μακροῦ χρόνου βεβαιωθὲν φύσεως ἰσχὺν λαμβάνει.

## II$^1$1917 / K cap. Σ 3, 8

Ἐκ τῆς μα′ ἐπιστολῆς·

Τὰ χρόνῳ κρατυνθέντα πάθη χρόνου δεῖται πρὸς τὴν διόρθωσιν.

## II$^1$1918 / K cap. Σ 3, 9

Τοῦ ἁγίου Γρηγορίου, ἐκ τοῦ περὶ θεολογίας·

Χρόνῳ τὸ ἔθος βεβαιωθὲν ἐνομίσθη νόμος.

---

**3 – 4 II$^1$1915** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, IV, 3, 1–3 (ed. Naldini, p. 90) **7 II$^1$1916** Basilius Caesariensis, *Asceticon magnum sive Quaestiones (regulae fusius tractatae)*, VI, 1 (PG 31, 925, 24–25) **10 II$^1$1917** Basilius Caesariensis, *Epistulae*, CLVI, 1, 18–19 (ed. Courtonne, II, p. 82) **13 II$^1$1918** Gregorius Nazianzenus, *De theologia II (Orat. 28)*, 14, 13–14 (ed. Gallay/Jourjon, p. 130)

---

**2 – 4 II$^1$1915** K cap. Σ 3, 6 (248v[21]22–23); V cap. Σ 4, 6; *deest in* H$^I$; PG 96, 333, 1–2 **6 – 7 II$^1$1916** K cap. Σ 3, 7 (248v[23–24]249r1–2); V cap. Σ 4, 7; *deest in* H$^I$; PG 96, 333, 3–4 **9 – 10 II$^1$1917** K cap. Σ 3, 8 (249r[2]3–4); V cap. Σ 4, 8; *deest in* H$^I$; PG 96, 333, 5–6 **12 – 13 II$^1$1918** K cap. Σ 3, 9 (249r[4]5); V cap. Σ 4, 9; *deest in* H$^I$; PG 96, 333, 7

---

**II$^1$1915** (a) K (b) Τοῦ αὐτοῦ V$^W$ (c) *s. a.* V$^E$V$^O$ **II$^1$1916** (a) K (b) *s. a.* V **II$^1$1917** (a) K (b) *s. a.* V **II$^1$1918** (a) K (b) Τοῦ Θεολόγου V Τοῦ] *om.* V$^W$

---

**3** ἀλόγων V$^W$ **4** προστάγματα V$^W$ **10** πάθει V$^E$V$^O$, ἤθη K χρόνου] *add.* καὶ K

## II$^{1}$1919 / K cap. Σ 3, 10

Ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν πατέρα·

Κλέπτει τὴν αἴσθησιν τῶν ἀλγεινῶν ἡ συνήθεια.

## II$^{1}$1920 / K cap. Σ 3, 11

Ἐκ τοῦ περὶ πνεύματος ἁγίου·

Οὐ ῥάστη τῶν ἐν ἔθει καὶ τῷ μακρῷ χρόνῳ τετιμημένων ἡ μετάθεσις.

## II$^{1}$1921 / K cap. Σ 3, 12

Ἐκ τοῦ περὶ εὐταξίας·

Ῥᾶον ἀπ᾽ ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ ἢ προϊοῦσαν διαφυγεῖν ἢ καὶ προβαίνουσαν ἀνακόψαι καὶ φανῆναι ταύτης ἀνώτερον, ὥσπερ καὶ πέτραν ἐρεῖσαι καὶ κατασχεῖν ἢ φερομένην ἀνώσασθαι.

---

**10 – 11** Ῥᾶον – ἀνώτερον] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.8./62.7. (ed. Ihm, p. 869–870)

---

**3 II$^{1}$1919** Gregorius Nazianzenus, *In seipsum et ad patrem (Orat. 12)*, 5, 21–22 (ed. Calvet-Sebasti, p. 358) **6 – 7 II$^{1}$1920** Gregorius Nazianzenus, *De Spiritu sancto (Orat. 31)*, 25, 20–21 (ed. Gallay/Jourjon, p. 324) **10 – 12 II$^{1}$1921** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 28, 6–9 (ed. Moreschini, p. 146)

---

**2 – 3 II$^{1}$1919** K cap. Σ 3, 10 (249r[5]6); *deest in* V H$^{I}$ **5 – 7 II$^{1}$1920** K cap. Σ 3, 11 (249r[6]7–8); V cap. Σ 4, 10; *deest in* H$^{I}$; PG 96, 333, 8–9 **9 – 12 II$^{1}$1921** K cap. Σ 3, 12 (249r[8]9–12); *deest in* V H$^{I}$

---

**II$^{1}$1920** (a) K (b) *s. a.* V

---

**6** τῷ] τῶν K **11** προβαίνουσαν] *correxi (ed.)*, προσβαίνουσαν K

## II$^{1}$1922 / K cap. Σ 3, 13

Ἐκ τοῦ β′ εἰρηνικοῦ·

Εἴ τις ἐν ἕξει τινὸς καλοῦ γένοιτο καὶ ἀπ’ αὐτοῦ ποιωθεί<η>, τὸ μεταπεσεῖν ἐργωδέστερον ἢ γενέσθαι ἀπ’ ἀρχῆς ἀγαθόν, ἐπειδὴ χρόνῳ καὶ λόγῳ βεβαιωθὲν ἅπαν καλόν, φύσις καθίσταται.

## II$^{1}$1923 / K cap. Σ 3, 14

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τοῦ περὶ μετανοίας·

Ἡ συνήθεια τῶν ἁμαρτημάτων ἐπὶ τὸ χεῖρον ἄγει τὴν ἐμπεσοῦσαν ψυχήν.

## II$^{1}$1924 / K cap. Σ 3, 15

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ βίου τοῦ ἁγίου Ἀντωνίου·

Ἡ τῆς ψυχῆς προθυμία, πολὺν χρόνον ἐμμείνασα, ἕξιν ἀπαθῆ εἰργάζετο ἐν αὐτῷ.

---

**3 – 5 II$^{1}$1922** Gregorius Nazianzenus, *De pace II (Orat. 23)*, 1, 15–18 (ed. Mossay/Lafontaine, p. 280–282) **8 – 9 II$^{1}$1923** Iohannes Chrysostomus, *De paenitentia*, locus non repertus, re vera (Ps.-)Iohannes IV Ieiunator, *Sermo de paenitentia et continentia et virginitate* (PG 88, 1940, 36–37) **12 – 13 II$^{1}$1924** Athanasius Alexandrinus, *Vita Antonii*, 7, 19–21 (ed. Bartelink, p. 150)

---

**2 – 5 II$^{1}$1922** K cap. Σ 3, 13 (249r[12]13–16); *deest in* V H$^{I}$ **7 – 9 II$^{1}$1923** K cap. Σ 3, 14 (249r[17]18–19); V cap. Σ 4, 11; *deest in* H$^{I}$; PG 96, 333, 10–11 **11 – 13 II$^{1}$1924** K cap. Σ 3, 15 (249r[19]20–21); *deest in* V H$^{I}$

---

**II$^{1}$1923** (a) K (b) Τοῦ Χρυσοστόμου V Τοῦ] *om.* V$^{W}$

---

**3** ἕξει – καλοῦ] *post* ἕξει *circiter quinque litteras erasit* K ποιωθείη] *correxi (ed.)*, ποιωθεῖ K **12 – 13** ἀπαθῆ εἰργάζετο] ἀγαθὴν ἐνειργάζετο *ed.* **13** αὐτῷ] *(sc.* τῷ Ἀντωνίῳ*)*, αὐτῆι K$^{a.\ c.\ ut\ videtur}$

## II$^1$1925 / K cap. Σ 3, 16

Τοῦ αὐτοῦ, ἐκ τῆς ιγʹ ἐπιστολῆς·

Οἷς ἐάν τις τὴν διάνοιαν ἀσκηθῇ, ἐν τούτοις λανθάνουσαν τὴν προθυμίαν πρὸς τὴν συνήθειαν ἔχει.

## II$^1$1926 / K cap. Σ 3, 17

Νείλου ἀσκητοῦ·

Δεινὸν ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτὴν καὶ μὴ συγχωρῆσαι πάλιν ἐπὶ τὴν πρώτην ἕξιν διαναστῆναι τῆς ἀρετῆς. Ἕξις μὲν γὰρ ἀπὸ συνηθείας, ἀπὸ δὲ ἕξεως φύσις ἐγγίνεται· φύσιν δὲ μετακινῆσαι καὶ μεταβαλεῖν χαλεπόν.

## <II$^1$suppl. 378 / V cap. Σ 4, 13>

## II$^1$1927 / K cap. Σ 3, 18

Φίλωνος, ἐκ τοῦ περὶ μέθης αʹ·

Αἱ πάντων ἀθρόαι πρὸς τἀναντία μεταβολαὶ σφαλερώταται, καὶ μάλιστα ὅταν μήκει χρόνου αἱ ὑποῦσαι στηριχθῶσι δυνάμεις.

---

**11 II$^1$suppl. 378** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 4 II$^1$1925** Athanasius Alexandrinus, *Epistulae festales*, XIII, 3 (ed. Cureton, p. 29, 12–13; Campani, p. 386) **7 – 10 II$^1$1926** Nilus Asceta (Ancyranus?), *Liber de monastica exercitatione*, 54 (PG 79, 785, 29–33) **14 – 15 II$^1$1927** Philo Iudaeus, *De ebrietate II*, Fr. 10 (ed. Wendland, p. 24); Royse 174.2

---

**2 – 4 II$^1$1925** K cap. Σ 3, 16 (249r[21]22–23); *deest in* V H$^I$ **6 – 10 II$^1$1926** K cap. Σ 3, 17 (249r[24]249v1–5); V cap. Σ 4, 12; *deest in* H$^I$; PG 96, 333, 12–16 **13 – 15 II$^1$1927** K cap. Σ 3, 18 (249v[5–6]7–9); V$^E$V$^O$ cap. Σ 4, 15; V$^W$ cap. Σ 4, 14; *deest in* H$^I$; PG 96, 333, 21–23

---

**II$^1$1926** (a) K (b) Νεῖλου V νίλου V$^E$V$^O$ **II$^1$1927** (a) K αʹ] *sic* K (b) Φίλωνος V

---

**15** χρόνω V$^W$

## II$^{1}$1928 / K cap. Σ 3, 19

Ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Ἅπαντες ἄνθρωποι φύλακες τῶν ἰδίων ἐθῶν εἰσιν.

## II$^{1}$1929 / K cap. Σ 3, 20

Ἐκ τοῦ εἰς τὸν Ἰωσήφ·

Δεινὸν τὸ ἔθος ἐξομοιῶσαι καὶ βιάσασθαι πρὸς φύσιν.

## II$^{1}$1930 / K cap. Σ 3, 21

Εἰρηναίου·

Οὐκ εὐχερὲς ὑπὸ πλάνης κατεχομένην μεταπεῖσαι ψυχήν.

---

**3 II$^{1}$1928** Philo Iudaeus, *Legatio ad Gaium*, 210 (ed. Reiter, p. 194, 23–24) **6 II$^{1}$1929** Philo Iudaeus, *De Iosepho*, 83 (ed. Cohn, p. 79, 2–3) **9 II$^{1}$1930** Irenaeus Lugdunensis, *Adversus haereses*, III, 2, 35–36 (Fr. gr. 2) (ed. Rousseau/Doutreleau, p. 28)

---

**2 – 3 II$^{1}$1928** K cap. Σ 3, 19 (249v[9–mg]10); *deest in* V H$^{I}$ **5 – 6 II$^{1}$1929** K cap. Σ 3, 20 (249v[11]12–13); *deest in* V H$^{I}$ **8 – 9 II$^{1}$1930** K cap. Σ 3, 21 (249v[13]14–15); V$^{E}$V$^{O}$ cap. Σ 4, 14; V$^{W}$ cap. Σ 4, 15; *deest in* H$^{I}$; PG 86, 2092, 34–35; PG 96, 333, 19–20

---

**II$^{1}$1930** (a) K V$^{W}$ (b) *s. a.* V$^{E}$V$^{O}$

---

**3** ἐθῶν] *correxi (ed.)*, ἐθνῶν K

**Τίτλος δʹ Περὶ σοφῶν καὶ συνετῶν ἀνδρῶν, καὶ ὅτι χρὴ αὐτοὺς ἑτοίμους εἶναι εἰς ὠφέλειαν παντὶ πάντοτε.**

**γʹ Περὶ σοφῶν καὶ συνετῶν ἀνδρῶν, καὶ ὅτι χρὴ αὐτοὺς ἑτοίμους εἶναι εἰς ὠφέλειαν παντὶ πάντοτε.**

**ιηʹ Περὶ σοφῶν καὶ συνετῶν ἀνδρῶν, καὶ ὅτι χρὴ αὐτοὺς ἑτοίμους εἶναι εἰς ὠφέλειαν πάντων.**

## II$^{1}$1931 / K cap. Σ 4, 1

Τῶν Παροιμιῶν·

Ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ
βασιλεῦσι δεῖ παραστῆναι.

## II$^{1}$1932 / K cap. Σ 4, 2

Σοφία Σολομῶντος·

Ἀδόλως ἔμαθον, ἀφθόνως μεταδίδωμι,
τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι.

---

**9 – 10 II$^{1}$1931** Prov. 22, 29$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 107) **13 – 14 II$^{1}$1932** Sap. 7, 13$^{1-2}$

---

**1 – 2 Titlos (a)** K (249v15–17) **3 – 4 Titlos (b)** V A$^{I\,pin}$; *deest in* H$^{I}$A$^{I\,txt}$ **5 – 6 Titlos (c)** PM$^{pin}$ L$^{b\,pin}$ E R; *deest in* M$^{txt\,(lac.)}$ L$^{b\,txt}$ **8 – 10 II$^{1}$1931** K cap. Σ 4, 1 (249v[17]18–19); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E R **12 – 14 II$^{1}$1932** K cap. Σ 4, 2 (249v[19]20–21); V cap. Σ 3, 1; P cap. Σ 18, 1; E cap. 220, 1; R cap. Σ 19, 1; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 16–17

---

**1 – 2 Titlos (a) 2** ἑτοίμους – πάντοτε] ὠφελεῖν τοὺς πλησίον K$^{pin}$ **3 – 4 Titlos (b) 3** γʹ] *propt. mg. resect. non liquet in* A$^{I\,pin}$ *(γʹ secund. ser.)*, *praem.* τίτλος V$^{W\,txt}$ **4** παντὶ] *om.* V$^{E\,pin}$ V$^{O\,pin}$ **5 – 6 Titlos (c) 5** ιηʹ] τίτλος ιθʹ R$^{txt}$, ιθʹ R$^{pin}$, σκʹ E **5 – 6** καὶ$^{1}$ – πάντων] *om.* M$^{pin}$ **5** καὶ$^{2}$] *om.* P$^{txt}$ R

---

**II$^{1}$1932** (a) K R σοφίας R (b) Σολομῶντος V P E

---

**14** τὸν] τὸ V$^{O}$

## II$^{1}$1933 / K cap. Σ 4, 3

Τῆς αὐτῆς·

Πλῆθος σοφῶν σωτηρία κόσμου.

## II$^{1}$1934 / K cap. Σ 4, 4

Τοῦ Σιράχ·

Κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ
ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

## II$^{1}$1935 / K cap. Σ 4, 5

Τοῦ αὐτοῦ·

Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανής,
τίς ὠφέλεια ἐν ἀμφοτέροις;

---

**10 – 11** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 20.5./5. (ed. Ihm, p. 483)

---

**3 II$^{1}$1933** Sap. 6, 24$^{1}$ **6 – 7 II$^{1}$1934** Sir. 20, 31$^{1–2}$ vel 41, 15$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 103 vel p. 161) **10 – 11 II$^{1}$1935** Sir. 20, 30$^{1–2}$ vel 41, 14$^{2–3}$ (Wahl, *Sirach-Text*, p. 102–103 vel p. 161)

---

**2 – 3 II$^{1}$1933** K cap. Σ 4, 3 (249v[21]22); V cap. Σ 3, 2; P cap. Σ 18, 2; E cap. 220, 2; R cap. Σ 19, 2; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 18 **5 – 7 II$^{1}$1934** K cap. Σ 4, 4 (249v[22]23–24); V cap. Σ 3, 3; P cap. Σ 18, 3; E cap. 220, 3; R cap. Σ 19, 3; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 19–21 **9 – 11 II$^{1}$1935** K cap. Σ 4, 5 (249v[24]250r1–2); V cap. Σ 3, 4; P cap. Σ 18, 4; E cap. 220, 4; R cap. Σ 19, 4; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 22–23

---

**II$^{1}$1933** (a) K P (b) Τοῦ αὐτοῦ R (c) *s. a.* V E **II$^{1}$1934** (a) K V R Τοῦ] *om.* V (b) *s. a.* P E **II$^{1}$1935** (a) K R (b) Σιράχ P E (c) *s. a.* V

---

**6** κρεῖσσον V P E

## II¹1936 / K cap. Σ 4, 6

Ματθαίου εὐαγγελιστοῦ·

Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

## II¹1937 / K cap. Σ 4, 7

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

…ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, ἀλλὰ μετὰ πραότητος καὶ φόβου, συνείδησιν ἔχοντες ἀγαθήν.

## II¹1938 / K cap. Σ 4, 8

Σχόλιον·

Ἀνάγνωθι τὸν Περὶ σοφίας παράλληλον.

---

**11** Περὶ σοφίας] cf. III / par. 35[36] A

---

**3 II¹1936** Matth. 10, 8 **6 – 8 II¹1937** I Petr. 3, 15–16 **11 II¹1938** *Scholion*

---

**2 – 3 II¹1936** K cap. Σ 4, 6 (250r[2]3); V cap. Σ 3, 5; P cap. Σ 18, 5; E cap. 220, 5; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ R; PG 96, 332, 24 **5 – 8 II¹1937** K cap. Σ 4, 7 (250r[3]4–7); V cap. Σ 3, 6; P cap. Σ 18, 6; R cap. Σ 19, 5; E cap. 220, 6; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 25–27 **10 – 11 II¹1938** K cap. Σ 4, 8 (250r[7]7); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E R

---

**II¹1936** (a) K (b) Ἐκ τοῦ κατὰ Ματθαῖον P (c) Ματθαίου V$^{E}$V$^{O}$ (d) Εὐαγγελίου V$^{W}$ E **II¹1937** (a) K P R ἐπιστολῆς] *om.* P (b) Ἐκ τῆς Πέτρου V$^{E}$V$^{O}$ (c) Ἀποστόλου Πέτρου E (d) Πέτρου V$^{W}$

---

**3** δῶτε V$^{E}$V$^{O}$ **6** ἀεὶ] *om.* V P E R **7** φόβου] *add.* καὶ V P **7 – 8** συνείδησιν – ἀγαθήν] καὶ συνειδήσεως ἀγαθῆς E

## II$^{1}$1939 / K cap. Σ 4, 9

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς κε′ ἐπιστολῆς·

Κίνδυνος προδοσίας ἐν τῷ μὴ προχείρως ἀποδιδόναι τὰς περὶ θεοῦ ἀποκρίσεις τοῖς ἀγαπῶσι τὸν κύριον.

## II$^{1}$1940 / K cap. Σ 4, 10

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν περὶ ἁγνείας συμποσίων·

Ἀποραθυμεῖν πρὸς τὸ τὰ συμφέροντα διηγήσασθαι οὐ θέμις, ὦ ἄνδρες, ἀναμφισβητήτως πεπιστευκότας *τῇ πολυποικίλῳ τοῦ θεοῦ σοφίᾳ*, πλουσίως ἐχούσῃ διδόναι καὶ διαφόρως τοῖς βουλομένοις.

## II$^{1}$1941 / K cap. Σ 4, 11

Ἐκ τῶν αὐτῶν·

Ὑπαίτιος ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμῇ λόγοις εὐχαριστηρίοις πρὸς οἰκοδομὴν τῶν πυθομένων.

---

**8 – 9** cf. Eph. 3, 10

---

**3 – 4 II$^{1}$1939** Basilius Caesariensis, *Epistulae*, VII, 9–10 (ed. Courtonne, I, p. 22) **7 – 9 II$^{1}$1940** Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λογος ζ′, I, 2–5 (ed. Musurillo, p. 178) **12 – 13 II$^{1}$1941** Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λογος δ′, I, 8–9 (ed. Musurillo, p. 128)

---

**2 – 4 II$^{1}$1939** K cap. Σ 4, 9 (250r[8]9–11); V cap. Σ 3, 7; P cap. Σ 18, 7; E cap. 220, 7; R cap. Σ 19, 6; *deest in* H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 332, 28–30 **6 – 9 II$^{1}$1940** K cap. Σ 4, 10 (250r[11–12]13–17); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E R **11 – 13 II$^{1}$1941** K cap. Σ 4, 11 (250r[17]18–20); *deest in* V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E R

---

**II$^{1}$1939** (a) K P R Τοῦ ἁγίου] *om.* P κε′] κ′ P (b) Βασιλείου V E

---

**3** προσοδίας P, προσωδίας E$^{a.\ c.\ man.\ rec.}$ **12** ὅτῳ] *correxi (ed.)*, οὗτως K$^{a.\ c.}$, οὕτως K$^{p.\ c.}$ μέτεστι] *correxi (ed.)*, μετέστη K κοσμῇ] *correxi (ed.)*, κοσμοῖ K

## II¹1942 / K cap. Σ 4, 12

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ εἰς τὴν τῶν ρν′ ἐπισκόπων παρουσίαν·

…οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειεν.

**4 – 5 II¹1942** Gregorius Nazianzenus, *Supremum vale coram centum quinquaginta episcopis (Orat. 42)*, 14, 18–20 (ed. Bernardi, p. 80)

**2 – 5 II¹1942** K cap. Σ 4, 12 (250r[20]21–23); *deest in* V H^I PM^(lac.) L^b E R

**Τίτλος ε′ Περὶ τοῦ συμπεριφέρεσθαι καὶ σχηματίζεσθαι ἐπ’ ὠφελείᾳ ψυχῶν τοῖς ἄρχουσιν καὶ διδασκάλοις δι’ οἰκονομίαν πραγμάτων.**

**κγ′ Περὶ τοῦ συμπεριφέρεσθαι.**

**<II$^{1}$suppl. 379 / V cap. Σ 23, 2>**

**II$^{1}$1943 / K cap. Σ 5, 1**

Τῶν Πράξεων·

Μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ ἔλαβε καὶ περιέτεμεν αὐτόν, διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ πάντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν.

**II$^{1}$1944 / K cap. Σ 5, 2**

Ἐκ τῶν αὐτῶν·

Εἶπαν τῷ Παύλῳ οἱ ἀδελφοί· Τοῦτο ποίησον ὃ λέγομέν σοι. Εἰσὶν

---

**1 – 3** Περὶ – πραγμάτων] cf. II$^{1}$ / K$^{\text{pin}}$ Παραπομπαὶ Ο 18 et Χ 10 **5 II$^{1}$suppl. 379** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**8 – 13 II$^{1}$1943** Act. 16, 1–3 **16 II$^{1}$1944** Εἶπαν – ἀδελφοί] cf. Act. 21, 20 **16 – 1044, 4** Τοῦτο – νόμον] Ibid. 21, 23–24

---

**1 – 3 Titlos (a)** K (250r23–250v1) **4 Titlos (b)** V$^{\text{E}}$V$^{\text{O}}$ A$^{\text{I pin}}$; *deest in* V$^{\text{W}}$ H$^{\text{I}}$A$^{\text{I txt}}$ **7 – 13 II$^{1}$1943** K cap. Σ 5, 1 (250v[1]2–9); *deest in* V H$^{\text{I}}$ **15 – 1044, 4 II$^{1}$1944** K cap. Σ 5, 2 (250v[9]10–16); *deest in* V H$^{\text{I}}$

---

**1 – 3 Titlos (a) 1** συμφέρεσθαι K$^{\text{pin}}$ καὶ σχηματίζεσθαι] *om.* K$^{\text{pin}}$ **2 – 3** τοῖς – πραγμάτων] *om.* K$^{\text{pin}}$ **4 Titlos (b)** κγ′] κβ′ V$^{\text{E pin}}$ V$^{\text{O pin}}$ *(*κγ′ *exspectav.), propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(*κγ′ *secund. ser.)*

---

**9** Λύστροις] *scripsi (NT)*, λυστροις K$^{\text{a. c.}}$, λυστροῖς K$^{\text{p. c. in mg.}}$ **10** Ἰκονίῳ] *scripsi*, ἰκονίωι K

ἡμῖν ἄνδρες τέσσαρες ἔχοντες ἐφ' ἑαυτῶν εὐχήν. Τούτους παραλαβών, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτούς, ἵνα ξυρίσωνται τὴν κεφαλήν, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον.

## II$^1$1945 / K cap. Σ 5, 3

Ἐκ τῆς πρὸς Κορινθίους α'·

Ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδάνω τοὺς ἀνόμους. Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα πάντα, ἵνα πάντως τινὰς σώσω.

## II$^1$1946 / K cap. Σ 5, 4

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς μζ' ἐπιστολῆς·

Οὐχ' ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα, ἀλλ' ἔστιν ὅπη καὶ συνδιδόναι τῷ ἤθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια.

---

**7 – 13 II$^1$1945** I Cor. 9, 19–22 **16 – 18 II$^1$1946** BASILIUS CAESARIENSIS, *Epistulae*, CCX, 5, 16–19 (ed. Courtonne, II, p. 195)

---

**6 – 13 II$^1$1945** K cap. Σ 5, 3 (250v[mg]17–251r2); V$^E$V$^O$ cap. Σ 23, 1; *deest in* V$^W$ H$^I$; PG 96, 368, 10–18 **15 – 18 II$^1$1946** K cap. Σ 5, 4 (251r[2]3–6); *deest in* V H$^I$

---

**II$^1$1945** (a) K (b) Πρὸς Κορινθίους V$^E$V$^O$

---

**2** δαπάνησον] *scripsi*, δαμπάνισον K **2 – 3** ξυρίσωνται] *sic* K, ξυρήσονται *NT* **8** πλείονας] πάντας V$^E$V$^O$ **9** Ἰουδαίους] *praem.* τοὺς K **9 – 10** μὴ – νόμον$^1$] *om.* V$^E$V$^O$ **11** θεοῦ] θεῷ V$^O$, *om.* V$^E$ χριστοῦ K κερδάνω] *scripsi (NT)*, κερδανῶ K, κερδήσω V$^E$V$^O$ τοὺς] *om.* V$^E$V$^O$ **12** ἀσθενοῦσιν V$^O$ **13** πάντα] *praem.* τὰ V$^E$V$^O$ **16** ἡγεῖτο] *correxi (ed.)*, ἡγεῖται τὸ K **17** ἔθει *ed.*

## II[1]1947 / K cap. Σ 5, 5

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον·

Πανταχοῦ τῷ καθ' ἑαυτὸν καὶ τὸ κοινὸν συλλαμβάνειν, ψυχῆς ἐστι τελειοτάτης καὶ φιλοσοφωτάτης· οὐδὲ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον ἕκαστον ἡμῶν, ἀλλὰ καὶ πᾶσιν, ὅσοι τῆς αὐτῆς μετέχουσι φύσεως, καὶ παρὰ τοῦ αὐτοῦ καὶ ἐπὶ τοῖς αὐτοῖς γεγόνασιν.

## II[1]1948 / K cap. Σ 5, 6

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τοῦ περὶ παρθενίας ϛ′ κεφαλαίου·

Ὁ τὸν ὅλον διόλου διὰ τῶν βαρυτέρων πλέκων λόγον, ἐπαχθής τέ ἐστι τῷ ἀκούοντι, καὶ πολλάκις ἀναγκάζει μετασκιρτῆσαι, μὴ φέροντα τῶν λεγομένων τὸ βάρος. Ὁ δὲ ποικίλλων αὐτὸν καὶ πλέ<κ>ων ἀπὸ τῶν ῥάστων, τὸ τοῦ πράγματος κλέπτει βαρύ, καὶ διαναπαύσας τὸν ἀκροατήν, οὕτω καὶ προσάγετα<ι> μᾶλλον.

## II[1]1949 / K cap. Σ 5, 7

Τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας, ἐκ τοῦ περὶ Ἑβραϊσμοῦ·

Κατὰ τινὰ νομοθετικὴν ἐπίνοιαν καὶ μεταχείρισιν εἰς πειθὼ τῶν

---

**4 – 7 II[1]1947** Gregorius Nazianzenus, *In laudem Heronis philosophi (Orat. 25)*, 4, 27–32 (ed. Mossay/Lafontaine, p. 166) **10 – 14 II[1]1948** Iohannes Chrysostomus, *De virginitate*, XXVII, 44–50 (ed. Musurillo, p. 180) **17 – 1046, 2 II[1]1949** Eustathius Antiochenus, *De Hebraismo*, locus non repertus, fragm. 120 (ed. Declerck, p. 181–182)

---

**2 – 7 II[1]1947** K cap. Σ 5, 5 (251r[6]7–11); *deest in* V H[I] **9 – 14 II[1]1948** K cap. Σ 5, 6 (251r[12]13–19); *deest in* V H[I] **16 – 1046, 2 II[1]1949** K cap. Σ 5, 7 (251r[19]20–24); *deest in* V H[I]; PG 86, 2092, 37–42

---

ἄλλα δὲ ἐν τῇ ἐπιφανείᾳ τοῖς ἀνθρώποις δεικνύντες. Μὴ ἀφανίσῃς οὖν τὸ πρόσωπόν σου. Οἷος εἶ, τοιοῦτος φαίνου, μὴ κατασχηματίζων πρὸς τὸ σκυθρωπόν, τὴν ἐκ τοῦ δοκεῖν ἐγκρατὴς εἶναι δόξαν θηρώμενος. Οὔτε γὰρ εὐποιΐας σαλπιζομένης ὄφελος, καὶ νηστείας δημοσιευομένης κέρδος οὐδέν. Τὰ γὰρ ἐπιδεικτικῶς γινόμενα οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλοντα τὸν καρπὸν ἐκτείνει, ἀλλ’ εἰς τὸν τῶν ἀνθρώπων ἔπαινον καταστρέφει.

## II$^{1}$2090 / K cap. Υ 1, 24

Τοῦ αὐτοῦ, ἐκ τῆς ι′ ἐπιστολῆς·

Ἐάν τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος, διότι αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ.

## II$^{1}$2091 / K cap. Υ 1, 25

Τοῦ Θεολόγου, ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Μηδὲν σοφίσῃ, μηδὲν τεχνάσῃ κατὰ τῆς σεαυτοῦ σωτηρίας· κἂν γὰρ τοὺς ἄλλους παραλογιζώμεθα, ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα, ὡς τό γε καθ’ ἑαυτῶν παίζειν λίαν ἐπισφαλὲς καὶ ἀνόητον.

---

**10 – 13 II$^{1}$2090** Basilius Caesariensis, *Epistulae*, LIII, 1, 9–13 (ed. Courtonne, I, p. 138) **16 – 18 II$^{1}$2091** Gregorius Nazianzenus, *In S. baptisma (Orat. 40)*, 18, 27–30 (ed. Moreschini, p. 236)

---

**9 – 13 II$^{1}$2090** K cap. Υ 1, 24 (264v[21]22–265r3); V$^{E}$V$^{Ph}$ cap. Υ 4, 22; V$^{W}$ cap. Υ 4, 21; *deest in* V$^{O}$ H$^{I}$ **15 – 18 II$^{1}$2091** K cap. Υ 1, 25 (265r[3]4–7); V$^{E}$ cap. Υ 4, 23; V$^{W}$ cap. Υ 4, 22; V$^{O}$ cap. Υ 4, 3; *deest in* H$^{I}$; *deest in* PG 96

---

**II$^{1}$2090** (a) K (b) *s. a.* V$^{E}$V$^{W}$V$^{Ph}$ **II$^{1}$2091** (a) K (b) Τοῦ Θεολόγου V Τοῦ] *om.* V$^{W}$

---

**1 – 7** Μὴ – καταστρέφει] *om.* V$^{W}$ **2** οὖν] *s. l.* K εἶ, τοιοῦτος] ἤτοι οὗτος V$^{E}$ **5** ἐνδεικτικῶς K γενόμενα V$^{Ph}$ **6** ἐκτίνει V$^{E}$V$^{Ph}$ **11** αὐτός τε K ἐργᾶται K **12** εἰς] ἐπὶ K καλῷ] *add.* δι’ ὑποκρίσεως K **16** μηδὲν] *scripsi*, μὴ δὲν V$^{E}$V$^{O}$, μὴ δὲ K V$^{W}$ ἑαυτοῦ V$^{O}$, αὑτοῦ K$^{p. c.}$, αὐτοῦ K$^{a. c.}$ V$^{W}$ **17** παραλογιζόμεθα V ἡμᾶς τε K V$^{W}$ αὐτοὺς] αὑτοὺς K$^{p. c.}$ **17 – 18** δυνησώμεθα K **18** ἑαυτὸν V$^{W}$ λίαν] *add.* ἐστὶν V$^{E}$V$^{O}$

## II$^1$2092 / K cap. Υ 1, 26

Ἐκ τοῦ περὶ τοῦ καθ' ἑαυτὸν βίου, τῶν Ἐπῶν·

Κρεῖσσον ἄριστον ἐόντα δοκεῖν κακόν, ἠὲ κάκιστον,
Κῦδος ἔχοντ' ἀγαθοῖο, τάφον ψεύστην μερόπεσσιν
Ἔμμεναι, ὃς μυδόωσι νεκροῖς ἔντοσθεν ὀδωδώς,
Ἔξωθεν ἀστράπτει κονίῃ καὶ χρώμασι τερπνοῖς.

## II$^1$2093 / K cap. Υ 1, 27

Ἐκ τοῦ εἰς τὸν πατέρα ἐπιταφίου·

Πᾶν ὃ ποιητόν, οὐδὲ μόνιμον· πρὸς ὀλίγον γὰρ τυπούμενον, τάχιστα διελέγχεται.

## II$^1$2094 / K cap. Υ 1, 28

*II$^2$2679 / PML$^b$ cap. Υ 2, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως·

Ὁ μὲν τινὸς ἕνεκε<ν> τὸ καλὸν ἐπιτηδεύων, οὐ βέβαιος εἰς ἀρετήν· ὁμοῦ τε γὰρ παρῆλθεν ἐκεῖνο, καὶ τοῦ καλοῦ στήσεται, ὥσπερ ὁ κέρδους ἕνεκεν πλέων.

---

**3 – 6 II$^1$2092** Gregorius Nazianzenus, *Carmina*, II,1,1 *(De rebus suis)*, 514–517 (Tuilier/Bady, p. 35) **9 II$^1$2093** Πᾶν – μόνιμον] Gregorius Nazianzenus, *Funebris oratio in patrem (Orat. 18)*, 23 (PG 35, 1012, 26–27) **9 – 10** πρὸς – διελέγχεται] Ibid. (PG 35, 1012, 25–26) **14 – 16 II$^1$2094** Gregorius Nazianzenus, *De seipso et ad eos qui ipsum cathedram Constantinopolitanam affectare dicebant (Orat. 36)*, 9, 1–4 (ed. Moreschini, p. 260)

---

**2 – 6 II$^1$2092** K cap. Υ 1, 26 (265r[7]8–12); $V^{E}$ cap. Υ 4, 24; $V^{O}$ cap. Υ 4, 4; *deest in* $V^{W}$ $H^{I}$; *deest in* PG 96 **8 – 10 II$^1$2093** K cap. Υ 1, 27 (265r[12]13–14); $V^{E}V^{Ph}$ cap. Υ 4, 25; $V^{W}$ cap. Υ 4, 23; *deest in* $V^{O}$ $H^{I}$ **12 – 16 II$^1$2094** K cap. Υ 1, 28 (265r[14–15]16–19); *deest in* V $H^{I}$

---

**II$^1$2092** (a) K (b) *s. a.* $V^{E}V^{O}$ **II$^1$2093** (a) K (b) *s. a.* $V^{E}V^{W}V^{Ph}$

---

**3** ἢ ἐκάκιστον $V^{E}V^{O}$ **4** ἔχοντα $V^{E}V^{O}$ **6** ἀπαστράπτει K **9** ὃ] ὅτι *(sic)* $V^{W}$ **10** διελεγχθήσεται K **14** ἕνεκεν] *scripsi*, ἕνεκε K

## II$^{1}$2095 / K cap. Υ 1, 29

Τοῦ μακαρίου Κυρίλλου, ἐκ τοῦ ις′ τῶν κατὰ Ἰουλιανοῦ·

Ὁ τοῖς ἀνθρώποις ἀρέσκων τοὺς παρ’ αὐτῶν ἐπαίνους ἔχοι ἂν εἰκότως εἰς ἀντιμισθίας δύναμιν, λήψεταί γε μὴν τῶν παρὰ τοῦ θεοῦ τὸ σύμπαν οὐδέν. Εὐανδρίας γάρ, τῆς ἐπὶ γῆς φημί, τὸ ἀγαθὸν οὐκ αὐτὸν ἐπόπτην ἐποίησε μᾶλλον, ἀλλὰ τῶν ὁρώντων τοὺς ὀφθαλμούς.

## II$^{1}$2096 / K cap. Υ 1, 30

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας, ἐκ τῆς πρὸς Ἀφροδίσιον ἐπιστολῆς·

Τὸ μὲν ἐκ τῶν ὄντων αἰσχρῶν ὑγιεῖ κρίσει πρὸς τὰ *ἀληθῆ* καὶ *σεμνὰ* χωρεῖν, *ἔπαινος*· τὸ δέ, τοῖς οὐκ ὀρθῶς ὑπειληφόσι βουλόμενον ἀρέσκειν, ἀπὸ τῶν κρειττόνων ἐκκλίνειν πρὸς τὰ φαῦλα δι’ ἔπαινον, ψόγος.

## <II$^{1}$suppl. 403 / V cap. Υ 4, 27>

---

**11 – 12** Phil. 4, 8 **15 II$^{1}$suppl. 403** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 7 II$^{1}$2095** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XVI (?) (fr. 46, ed. Kinzig/Brüggemann, p. 796) **11 – 14 II$^{1}$2096** Dionysius Alexandrinus, *Epistula ad Aphrodisium*, locus non repertus (ed. Feltoe, Z. V, 5 [p. 255, 11–15]); Holl, n° 373

---

**2 – 7 II$^{1}$2095** K cap. Υ 1, 29 (265r[19]20–265v2); V$^{E}$ cap. Υ 4, 26; V$^{W}$ cap. Υ 4, 24; V$^{O}$ cap. Υ 4, 5; *deest in* H$^{I}$; PG 86, 2084, 26–30 *(*Ὁ – οὐδέν *[sub titulo* Περὶ κολάκων, *cf.* II$^{1}$1309 / K cap. K 6, 31*])*; PG 86, 2096, 30–32 *(*Εὐανδρίας – ὀφθαλμούς *[falso sub titulo* Περὶ τάξεως καὶ καταστάσεως*])*; PG 96, 377, 1–3 **9 – 14 II$^{1}$2096** K cap. Υ 1, 30 (265v[2–3]4–8); *deest in* V H$^{I}$; PG 86, 2096, 33–38 *(falso sub titulo* Περὶ τάξεως καὶ καταστάσεως*)*

---

**II$^{1}$2095** (a) K (b) Κυρίλλου V κυρίλου V$^{W}$

---

**3** τοῖς] *om.* V αὐτὸν V$^{E}$ **4** τοῦ] *om.* V **5 – 7** Εὐανδρίας – ὀφθαλμούς] *om.* V **5** Εὐανδρίας] ζ<ή>τ<ει> K$^{\text{in mg.}}$ ἐπὶ γῆς] *correx. Mai*, ἐπεί γε K **11** ὄντων] *secund. Feltoe forsan* ὄντως *legendum* αἰσχρῶν] *correx. Feltoe*, αἰσχρὸν K

## II$^{1}$2097 / K cap. Υ 1, 31

Φίλωνος, ἐκ τοῦ περὶ φυγῆς·

Μυρίους ἐστὶν ἰδεῖν τῶν φαύλων τὰ αὐτὰ δρῶντας ἔσθ’ ὅτε τοῖς λίαν ἀγαθοῖς, οὐκ ἀπὸ διανοίας τῆς αὐτῆς, ἐπειδὴ τοῖς μὲν ἀλήθεια, τοῖς δὲ ὑπόκρισις ἀσκεῖται. Χαλεπὴ δὲ ἡ διάγνωσις ἀμφοῖν· πολλάκις γὰρ ὑπὸ τοῦ δοκεῖν παρευημερήθη τὸ εἶναι.

## II$^{1}$2098 / K cap. Υ 1, 32

Ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ὁ σοφιστικός, γνώμης ὢν ἑτέρας, λόγοις οὐ συνάδουσι χρῆται. Διέξεισι μὲν γὰρ ἀπνευστὶ τοὺς ἀρετῆς ἑκάστης ἐπαίνους, οἷα λόγῳ πολύς, ἐπὶ θήρᾳ τῶν ἀκουόντων· ὁ δὲ βίος ἐστὶν αὐτοῦ πάντων ἀνάπλεως ἁμαρτημάτων. Καί μοι δοκεῖ τῶν ἐπὶ σκηναῖς ὑποκριτῶν διαφέρειν οὐδέν, οἳ πολλάκις ἠμελημένοι καὶ ἄφρονες, ἄνθρωποι διεφθαρμένοι, τινὲς δὲ καὶ θεράποντες, εἰς ἥρωας ἀσκοῦνται, μικρὸν δὲ ὕστερον ἀποθέμενοι τὴν σκευήν, τὰ τῆς ἰδίας ἀδοξίας ἀναφαίνουσι σημεῖα.

---

**3 – 6 II$^{1}$2097** Philo Iudaeus, *De fuga et inventione*, 156 (ed. Wendland, p. 143, 23–26) **9 – 16 II$^{1}$2098** Philo Iudaeus, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 302.26); Royse 176.55

---

**2 – 6 II$^{1}$2097** K cap. Υ 1, 31 (265v[8]9–14); *deest in* V H$^{I}$ **8 – 16 II$^{1}$2098** K cap. Υ 1, 32 (265v[14]15–266r2); *deest in* V H$^{I}$; PG 86, 2096, 39–49 *(falso sub titulo* Περὶ τάξεως καὶ καταστάσεως*)*

---

**10** ἀπνευστὶ] *scrips. Harris*, ἀπνευστεὶ K **11** πολύς] *correx. Mai*, πόλις K *(*ζ<ή>-τ<ει> *in mg.)* αὐτοῦ] *correxi (ed.)*, αὐτῶν K **12** ἀνάπλεως] *scrips. Mai*, ἀνάπλεος K **13** οἳ] *scrips. Mai*, οἱ K **14** ἥρωας] ζ<ή>τ<ει> K$^{\text{in mg.}}$

*II[2] / PML[b] cap. Υ 6

## Τίτλος β′ Περὶ ὑβριστοῦ.

## α′ Περὶ ὑβριστοῦ.

### II[1]2099 / K cap. Υ 2, 1

Ἀπὸ τοῦ Ἰώβ·

Πάντα ὑβριστὴν ταπείνωσον.

### II[1]2100 / K cap. Υ 2, 2

Τοῦ αὐτοῦ·

Τοὺς ὕβρει φερομένους ἐταπείνωσεν.

### II[1]2101 / K cap. Υ 2, 3

Τοῦ αὐτοῦ·

Αἶνος αὐτῷ ὕβρις.

---

5 **II[1]2099** Iob 40, 11[2] 8 **II[1]2100** Iob 22, 12[2] 11 **II[1]2101** Iob 15, 27[2] (app. crit.)

---

**1 Titlos (a)** K (266r2) **2 Titlos (b)** V A[I pin]; *deest in* H[I]A[I txt] **4 – 5 II[1]2099** K cap. Υ 2, 1 (266r[2]3); V cap. Υ 1, 2; *deest in* H[I]; PG 96, 373, 13 **7 – 8 II[1]2100** K cap. Υ 2, 2 (266r[3]4); V[E]V[O] cap. Υ 1, 1; V[W] cap. Υ 1, 3; *deest in* H[I]; PG 96, 373, 12 **10 – 11 II[1]2101** K cap. Υ 2, 3 (266r[4]5); V[W] cap. Υ 1, 1; *deest in* V[E]V[O] H[I]

---

**2 Titlos (b)** α′] *om.* V[O txt] *(α′ secund. ser.), propt. mg. resect. non liquet in* A[I pin] *(α′ secund. ser.), praem.* τίτλος α′ V[E pin] V[O pin], *praem.* τίτλος V[W txt]

---

**II[1]2099** (a) K (b) *s. a.* V **II[1]2100** (a) K (b) Ἰώβ V[E]V[O] (c) *s. a.* V[W] **II[1]2101** (a) K (b) Ἰώβ V[W]

## II$^{1}$2102 / K cap. Υ 2, 4

Τῶν Παροιμιῶν·

Κακὸς μετὰ ὕβρεως πράσσει κακά.

## II$^{1}$2103 / K cap. Υ 2, 5

*II$^{2}$2721 / PML$^{b}$ cap. Υ 6, 4

Τῶν αὐτῶν·

Ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος.

## II$^{1}$2104 / K cap. Υ 2, 6

Τῶν αὐτῶν·

Οἴκους ὑβριστῶν κατασπᾷ κύριος.

## II$^{1}$2105 / K cap. Υ 2, 7

*II$^{2}$2720 / PML$^{b}$ cap. Υ 6, 3

Τῶν αὐτῶν·

Πρὸ συντριβῆς ἡγεῖται ὕβρις,
πρὸ δὲ πτώματος κακοφροσύνη.

---

**3 II$^{1}$2102** Prov. 13, 10$^{1}$ (Wahl, *Proverbien-Text*, p. 67) **6 II$^{1}$2103** Prov. 6, 17$^{1}$ (Wahl, *Proverbien-Text*, p. 40) **9 II$^{1}$2104** Prov. 15, 25$^{1}$ (Wahl, *Proverbien-Text*, p. 78) **12 – 13 II$^{1}$2105** Prov. 16, 18$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 82)

---

**2 – 3 II$^{1}$2102** K cap. Υ 2, 4 (266r[5]6); V$^{E}$V$^{O}$ cap. Υ 1, 3; V$^{W}$ cap. Υ 1, 4; *deest in* H$^{I}$; PG 96, 373, 14 **5 – 6 II$^{1}$2103** K cap. Υ 2, 5 (266r[6]7); V$^{E}$V$^{O}$ cap. Υ 1, 5; V$^{W}$ cap. Υ 1, 6; *deest in* H$^{I}$; PG 96, 373, 16 **8 – 9 II$^{1}$2104** K cap. Υ 2, 6 (266r[7]8); V$^{E}$V$^{O}$ cap. Υ 1, 4; V$^{W}$ cap. Υ 1, 5; *deest in* H$^{I}$; PG 96, 373, 15 **11 – 13 II$^{1}$2105** K cap. Υ 2, 7 (266r[8]9–10); *deest in* V H$^{I}$

---

**II$^{1}$2102** Τῶν] *om.* V **II$^{1}$2103** (a) K (b) *s. a.* V **II$^{1}$2104** (a) K (b) *s. a.* V

---

**3** Κακὸς] *praem.* ὁ V$^{W\ man.\ rec.}$ ὑβρίσεως K **6** ὀφθαλμοῦ V$^{E}$V$^{O}$ **9** Οἴκους] *post* ὑβριστῶν *transpos.* V$^{E}$V$^{O}$

*II$^{2}$2722 / PML$^{b}$ cap. Υ 6, 5

## II$^{1}$2106 / K cap. Υ 2, 8

Τῶν αὐτῶν·

Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία.

## II$^{1}$2107 / K cap. Υ 2, 9

Τῶν αὐτῶν·

Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως
ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὕβρεως.

## II$^{1}$2108 / K cap. Υ 2, 10

Τῶν αὐτῶν·

Ὕβρις ἄνδρα ταπεινοῖ.

## II$^{1}$2109 / K cap. Υ 2, 11

Ἡσαΐου προφήτου·

Οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται καὶ ταπεινωθήσονται.

---

**3 II$^{1}$2106** Prov. 11, 2$^{1}$ (Wahl, *Proverbien-Text*, p. 55) **6 – 7 II$^{1}$2107** Prov. 16, 19$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 82) **10 II$^{1}$2108** Prov. 29, 23$^{1}$ (Wahl, *Proverbien-Text*, p. 142) **13 II$^{1}$2109** Is. 10, 33 (Wahl, *Prophetenzitate*, p. 324–325)

---

**2 – 3 II$^{1}$2106** K cap. Υ 2, 8 (266r[10]11); V$^{E}$V$^{O}$ cap. Υ 1, 6; V$^{W}$ cap. Υ 1, 7; *deest in* H$^{I}$; PG 96, 373, 17 **5 – 7 II$^{1}$2107** K cap. Υ 2, 9 (266r[11]12–13); V$^{E}$V$^{O}$ cap. Υ 1, 7; V$^{W}$ cap. Υ 1, 8; *deest in* H$^{I}$; PG 96, 373, 13–14 **9 – 10 II$^{1}$2108** K cap. Υ 2, 10 (266r[13]14); *deest in* V H$^{I}$ **12 – 13 II$^{1}$2109** K cap. Υ 2, 11 (266r[14]15–16); V$^{E}$V$^{O}$ cap. Υ 1, 8; V$^{W}$ cap. Υ 1, 9; *deest in* H$^{I}$; PG 96, 373, 20–21

---

**II$^{1}$2106** (a) K (b) *s. a.* V **II$^{1}$2107** (a) K (b) *s. a.* V **II$^{1}$2109** (a) K (b) Ἡσαΐου V

---

**6** κρεῖσσον V **7** διαιρεῖ V$^{O}$ **13** ὕβρει] *add.* πάντες K

## II$^{1}$2110 / K cap. Υ 2, 12

Τοῦ αὐτοῦ·

Ματαία ἔσται ὕβρις τοῦ πνεύματος ὑμῶν.

## II$^{1}$2111 / K cap. Υ 2, 13

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ ὀργῆς·

Ὥσπερ ἡ ἐν ταῖς ἐρήμοις ἠχὼ πρὸς τὸν φθεγξάμενον αὖθις ἀκεραία ὑποστρέφει, οὕτως αἱ ὕβρεις ἐπὶ τὸν λοίδορον ἐπαναστρέφουσιν· μᾶλλον δέ, ὁ μὲν ἦχος <ὁ> αὐτὸς ἀπεδόθη, ἡ δὲ λοιδορία μετὰ προσθήκης ἐπάνεισιν.

## II$^{1}$2112 / K cap. Υ 2, 14

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς νέους·

Ἐχθρὸς μῦθος ὁπλίζει χεῖρα.

---

**12** cf. Ps.-Eurip., *Rhes.*, 84

---

**3 II$^{1}$2110** Is. 33, 11 (Wahl, *Prophetenzitate*, p. 373–374) **6 – 9 II$^{1}$2111** Basilius Caesariensis, *Homilia adversus eos qui irascuntur*, 3 (PG 31, 357, 37–41) **12 II$^{1}$2112** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, VII, 5, 4–5 (ed. Naldini, p. 106)

---

**2 – 3 II$^{1}$2110** K cap. Υ 2, 12 (266r[16]17); *deest in* V H$^{I}$ **5 – 9 II$^{1}$2111** K cap. Υ 2, 13 (266r[17]18–22); V$^{E}$V$^{O}$ cap. Υ 1, 9; V$^{W}$ cap. Υ 1, 10; *deest in* H$^{I}$; PG 96, 373, 22–26 **11 – 12 II$^{1}$2112** K cap. Υ 2, 14 (266r[22]23); *deest in* V H$^{I}$

---

**II$^{1}$2111** (a) K (b) Βασιλείου V

---

**6** φεγξάμενον V$^{E}$ **6 – 7** ἀκεραία] *scripsi*, ἀκεραῖα K V$^{W}$, ἀκαιρέα V$^{E}$V$^{O}$ **7** τὸν] τῶν K, τὼν *(sic)* V$^{E}$ λοίδωρον V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$, λοιδοριῶν K$^{a.\ c.}$, λοιδόρων K$^{p.\ c.\ in\ mg.}$ **8** δέ] μὲν V$^{W}$ ὁ$^{2}$] *supplevi (**II$^{2}$1868 / R cap. Λ 1, 9*)*, *om.* K V λοιδορία] *add.* καὶ ὕβρις K **12** Ἐχθρὸς μῦθος] ἐπ' ἐχθροὺς θυμὸς *ed. Bas.*, ἐπ' ἐχθροῖς μῦθος *ed. Ps.-Eurip.*

## II$^1$2113 / K cap. Υ 2, 15

Κυρίλλου, ἐκ τοῦ ιβʹ τῶν κατὰ Ἰουλιανοῦ·

Τὸ μὲν κακῶς ἀγορεύειν οὓς ἂν ἕλοιτό τις, εὔκολον οἶμαι παντί· δημῶδες ὅμως τοῦτο καὶ ἀγοραῖον.

## II$^1$2114 / K cap. Υ 2, 16

Ἐκ τοῦ ιϛʹ τῶν αὐτῶν·

Πάναισχρον καὶ ἀκαλλὲς καὶ τοῖς εὖ βιοῦν ᾑρημένοις ἀνάρμοστον τὸ ὑβρίζειν ἐστί· καὶ οὐκ ἂν τίς εἴη τοιοῦτος τῶν ἐν ἐφέσει σεμνότητος καὶ ἐπιεικείας.

## <II$^1$suppl. 404 / V cap. Υ 1, 11>

---

**10 II$^1$suppl. 404** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**3 – 4 II$^1$2113** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XII (?) (fr. 17, ed. Kinzig/Brüggemann, p. 773) **7 – 9 II$^1$2114** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XVI (?) (fr. 38, ed. Kinzig/Brüggemann, p. 786)

---

**2 – 4 II$^1$2113** K cap. Υ 2, 15 (266r[23]24–25); *deest in* V H$^I$; PG 86, 2096, 51–54
**6 – 9 II$^1$2114** K cap. Υ 2, 16 (266r[25]–266v4); V$^E$V$^O$ cap. Υ 1, 10; V$^W$ cap. Υ 1, 11; *deest in* H$^I$; PG 86, 2096, 55 – 2097, 3; PG 96, 373, 27–28

---

**II$^1$2114** (a) K (b) Κυρίλλου V

---

**3** οὓς] οὐκ *scrips. Mai* εὔκολον] εὔδηλον *scrips. Mai* **4** ἀγοραῖον] *scrips. Mai*, ἀγορευραῖον K **7** Πάναισχρον] *correxi*, πᾶν αἰσχρὸν K V εὖ βιοῦν] εὐποιεῖν V$^E$V$^O$ ᾑρημένοις] *scrips. Mai*, ἠρημένοις K, εἰρημένοις V **8 – 9** καὶ – ἐπιεικείας] *om.* V

**Τίτλος γʹ Περὶ ὕπνου καὶ ἀϋπνίας.**

**γʹ Περὶ ὕπνου καὶ ἀϋπνίας.**

**ιαʹ Περὶ ὕπνου καὶ ἀϋπνίας.**

## II$^{1}$2115 / K cap. Υ 3, 1

Ἀπὸ τοῦ Ἐκκλησιαστοῦ·

Γλυκὺς ὁ ὕπνος τοῦ δούλου,
εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται.

## II$^{1}$2116 / K cap. Υ 3, 2

Τῶν Παροιμιῶν·

Ἐνδύεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.

---

**1** ἀϋπνίας] cf. II$^{1}$ / K$^{pin}$ Παραπομπὴ Α 15 **10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 29.3./3. (ed. Ihm, p. 618–619)

---

**6–7 II$^{1}$2115** Eccle. 5, 11$^{1-2}$ (Wahl, *Kohelet-Text*, p. 157) **10 II$^{1}$2116** Prov. 23, 21$^{2}$ (Wahl, *Proverbien-Text*, p. 110–111)

---

**1 Titlos (a)** K (266v4) **2 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **3 Titlos (c)** PML$^{b\ pin}$ E R; *deest in* L$^{b\ txt}$ **5–7 II$^{1}$2115** K cap. Υ 3, 1 (266v[4]5–6); V cap. Υ 3, 1; P cap. Υ 11, 1; *deest in* H$^{I}$ ML$^{b}$ E R; PG 96, 373, 43–44 **9–10 II$^{1}$2116** K cap. Υ 3, 2 (266v[6]7); V cap. Υ 3, 5; P cap. Υ 11, 5; M cap. Υ 11, 3; E cap. 246, 3; *deest in* H$^{I}$ L$^{b}$ R; PG 96, 376, 1–2

---

**1 Titlos (a)** Τίτλος γʹ] δγʹ *(sic)* K$^{pin}$ *(γʹ secund. ser.)* **2 Titlos (b)** γʹ] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(γʹ secund. ser.), praem.* τίτλος V$^{W\ txt}$ **3 Titlos (c)** ιαʹ] σμςʹ E, *praem.* τίτλος R$^{txt}$

---

**II$^{1}$2115** (a) K (b) Τοῦ Ἐκκλησιαστοῦ V P Τοῦ] *om.* V **II$^{1}$2116** Τῶν] *om.* V PM E

---

**6** τῶ δούλω V$^{W\ p.c.}$ **10** Ἐνδύεται] ἐνδύσεται *(-δυ- M)* PM E πᾶς ὑπνώδης] πᾶς υ E *(sed erasum videtur)*

## II$^1$2117 / K cap. Υ 3, 3

<***>

Ὕπνος ὑγείας ἐπὶ ἐντέρῳ μετρίῳ.

## II$^1$2118 / K cap. Υ 3, 4

Τῶν αὐτῶν·

Μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν.

## II$^1$2119 / K cap. Υ 3, 5

Ἀπὸ τοῦ Σιράχ·

Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία,
καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον.

---

**3** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 13.5.*/5. (ed. Ihm, p. 328) **6** exstat ibid., 29.4./4. (p. 619)

---

**3 II$^1$2117** Sir. 34, 20$^1$ (Wahl, *Sirach-Text*, p. 139–140) **6 II$^1$2118** Prov., re vera Sir. 34, 2$^1$ (Wahl, *Sirach-Text*, p. 137) **9 – 10 II$^1$2119** Sir. 42, 9$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 164)

---

**2 – 3 II$^1$2117** K cap. Υ 3, 3 (266v8); V cap. Υ 3, 2; P cap. Υ 11, 2; *deest in* H$^I$ ML$^b$ E R; PG 96, 373, 45 **5 – 6 II$^1$2118** K cap. Υ 3, 4 (266v[8]9); V cap. Υ 3, 3; P cap. Υ 11, 3; M cap. Υ 11, 1; E cap. 246, 1; *deest in* H$^I$ L$^b$ R; PG 96, 373, 45–46 **8 – 10 II$^1$2119** K cap. Υ 3, 5 (266v[9]10–11); V cap. Υ 3, 4; P cap. Υ 11, 4; M cap. Υ 11, 2; E cap. 246, 2; *deest in* H$^I$ L$^b$ R; PG 96, 373, 46–47

---

**II$^1$2117** (a) *s. a.* K V$^E$V$^O$ (b) Σοφία Σολομῶντος *(*-μωντος *cod.)* P (c) σολομ *(sic)* V$^W$ **II$^1$2118** (a) K (b) Σιράχ V$^O$ (c) Ἐκ τοῦ Ἐκκλησιαστοῦ M (d) Ἐκκλησιαστοῦ E (e) *s. a.* V$^E$V$^W$ P **II$^1$2119** (a) K (b) Τοῦ Σιράχ V PM E Τοῦ] *om.* V$^E$ E σιραχ PM (c) *s. a.* V$^W$V$^O$

---

**3** ὑγεία V$^E$V$^O$ **6** ἀπετίσει K, ἀπαιτει *(sic)* M **9** πατρὶ] *om.* K ἀγρυπνΐας V$^O$

## II¹2120 / K cap. Υ 3, 6

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας λόγου·

Εὐχαρίστει, ἄνθρωπε, τῷ ἀκουσίως ἡμᾶς διὰ τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντι καὶ ἐκ μικρᾶς ἀναπαύσεως πάλιν πρὸς τὴν ἀκμὴν τῆς δυνάμεως ἐπανάγοντι.

## II¹2121 / K cap. Υ 3, 7

Ἐκ τῆς πρὸς Γρηγόριον ἀσκητικῆς ἐπιστολῆς·

Τὸ ἐν βαθεῖ κάρῳ κατακρατεῖσθαι, λυομένων αὐτοῦ τῶν μελῶν, ὥστε σχολὴν ἀτόποις παρέχειν φαντασίαις, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας.

---

**3 – 5** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 29.5./5. (ed. Ihm, p. 619)

---

**3 II¹2120** Εὐχαρίστει] Basilius Caesariensis, re vera *Homilia in martyrem Iulittam*, 3 (PG 31, 244, 27) **3 – 5** τῷ – ἐπανάγοντι] Ibid. (PG 31, 244, 37–40) **8 – 10 II¹2121** Basilius Caesariensis, *Epistulae*, II, 6, 42–45 (ed. Courtonne, I, p. 12–13)

---

**2 – 5 II¹2120** K cap. Υ 3, 6 (266v[11]12–15); V cap. Υ 3, 6; P cap. Υ 11, 6; M cap. Υ 11, 4; E cap. 246, 4; R cap. Υ 11, 1; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 376, 3–6 **7 – 10 II¹2121** K cap. Υ 3, 7 (266v[15]16–19); V cap. Υ 3, 7; P cap. Υ 11, 7; M cap. Υ 11, 5; *deest in* H$^{I}$ L$^{b}$ E R; PG 96, 376, 7–10

---

**II¹2120** (a) K (b) Τοῦ ἁγίου Βασιλείου, περὶ εὐχαριστίας PM Τοῦ ἁγίου] *om.* M βασιλειου M (c) Τοῦ ἁγίου Βασιλείου R (d) Βασιλείου V E **II¹2121** (a) K (b) Τοῦ αὐτοῦ P (c) *s. a.* V (d) *s. d.* M

---

**4** τὸν πόνον *(*πο- M*)* M R **4 – 5** πάλιν – δυνάμεως] *om.* V$^{O}$ **4** πάλιν] *om.* K πρὸς] ἐπὶ V$^{E}$ **8** Τὸ] τῶ V, τον P ἐν] *om.* PM λυομενου M αὐτῶ V$^{W}$ τῶν] *om.* V$^{W}$ **9** σχολην M$^{p. c.}$, χολὴν *(*-ην M*)* K M$^{a. c.}$ ἀτόποις] ἀτϋποῖς M, *post* παρέχειν *transpos.* K φαντασίαις] *om.* K *(in mg. supplev.)*

## II$^{1}$2122 / K cap. Υ 3, 8

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας·

Ὕπνος τὸ σύντονον τῆς ἐγρηγόρσεως ὑπεχάλασεν, εἶτα ἐγρήγορσις τὸ ἀνειμένον ἐτόνωσε. Καὶ οὐθέτερον τούτων ἐν τῷ διηνεκεῖ συμμένει, ἀλλ᾽ ὑποχωρεῖ ταῖς παρουσίαις ἀλλήλων ἀμφότερα, οὕτω τῆς φύσεως ἑαυτὴν ταῖς ὑπαλλαγαῖς ἀνακαινιζούσης, ὡς ἑκατέρων ἐν μέρει μεταλαγχάνουσα<ν> <ἀδι>ασπάστως ἀπὸ τοῦ ἑτέρου μεταβαίνειν ἐπὶ τὸ ἕτερον. Τό τε γὰρ διαπαντὸς συντετᾶσθαι ταῖς ἐνεργείαις τὸ ζῶον ῥῆξίν τινα καὶ διασπασμὸν τῶν ὑπερτεινομένων ποιεῖται μερῶν· ἥ τε διηνεκὴς τοῦ σώματος ἄνεσις διάπτωσίν τινα τοῦ συνεστῶτος καὶ λύσιν ἐργάζεται. Τὸ δὲ κατὰ καιρὸν ἀμφοτέρων μετρίως ἐπιθιγγάνειν δύναμις πρὸς διαμονήν ἐστι τῆς φύσεως, διὰ τῆς διηνεκοῦς πρὸς τὰ ἀντικείμενα μεταβάσεως ἐν ἑκατέροις ἑαυτὴν ἀπὸ τῶν ἑτέρων ἀναπαυούσης. Οὕτω τοίνυν τετονωμένον διὰ τῆς ἐγρηγόρσεως τὸ σῶμα λαβοῦσα, λύσιν ἐπινοεῖ διὰ τοῦ ὕπνου τῷ τόνῳ, τὰς αἰσθητικὰς δυνάμεις πρὸς καιρὸν ἐκ τῶν ἐνεργειῶν ἀναπαύσασα, οἷόν τινας πώλους μετὰ τοὺς ἀγῶνας τῶν ἁρμάτων ἐκλύουσα. Ἀναγκαία δὲ τῇ συστάσει τοῦ σώματος ἡ εὔκαιρος ἄνεσις.

---

**3 – 19 II$^{1}$2122** GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, 13, 2–3 (ed. Forbesius, p. 174, 9–27)

---

**2 – 19 II$^{1}$2122** K cap. Υ 3, 8 (266v[19]20–267r17); V cap. Υ 3, 8; P cap. Υ 11, 8; *deest in* $H^{I}$ $ML^{b}$ E R; PG 96, 376, 11–30

---

**II$^{1}$2122** (a) K P ἁγίου Γρηγορίου] *om.* P τὸν] *om.* P (b) Τοῦ Νύσης V Τοῦ] *om.* $V^{W}$

---

**3 – 4** ἐγρήγορσις] ἡ γρηγόρησις K **4** ἀνημένον $V^{E\ a.\ c.}$, ἄμεινον $V^{W\ e\ corr.}$ P **5** μένει K **6 – 7** ἑκατέρου K **7** μεταλαγχάνουσαν] *correxi (ed.)*, μεταλαγχάνουσα *(*-λαγχα- P*)* K $V^{W}$ P, καταλαγχάνουσα $V^{E}V^{O}$ ἀδιασπάστως] *correxi (ed.)*, ἀσπάστως K $V^{W\ a.\ c.\ ut\ videtur}$, ἀσπασίως $V^{W\ p.\ c.}$ P, ἀσπαστῶς $V^{E}V^{O}$ τοῦ] *om.* $V^{W}$ *(in mg. supplev. man. rec.)* **8** μεταβαίνει V ἐπὶ] *om.* $V^{E}$ τὸ] τὸν $V^{W\ a.\ ras.}$ **8 – 9** συντετᾶσθαι] *sic acc.* K V P, συνετετᾶσθαι $V^{O\ a.\ c.}$ **9** τὸ ζῶον] *om.* $V^{E}V^{O}$ τῶν] τὸν $V^{E}V^{O}$ **9 – 10** ὑπερτεινομένων] -ει- *e corr.* $V^{W}$, ὑπερτινομένων $V^{E}V^{O}$ P **12** καιρὸν] καιρῶν $K^{a.\ c.}$ μετρίας $V^{E}V^{O}$ **15** τετονωμένον] τετονημένον $V^{W}$ P, *om.* K ἐγρηγορήσεως K **16** ταῖς αἰσθητικαῖς $V^{W\ a.\ c.}$, ταὶς *(sic)* αἰσθητικὰς $V^{W\ p.\ c.}$ **16 – 17** πρόσκαιρον $V^{W}$ **17** ἀναπαύουσα *(*-αυ- P*)* $V^{W\ p.\ c.}$ P πόλους $V^{W\ p.\ c.}$ $V^{O}$, πολλοὺς *(*-ους P*)* $V^{W\ a.\ c.}$ P

## II$^{1}$2123 / K cap. Υ 3, 9

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τῶν εἰς τὸν Σαοὺλ καὶ τὸν Δαυΐδ·

Ὕπνος οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος πρόσκαιρος καὶ ἐφήμερος τελευτή.

## II$^{1}$2124 / K cap. Υ 3, 10

Τοῦ ἁγίου Εὐσταθίου, ἐκ τοῦ περὶ ψυχῆς λόγου·

Κοινὸν σώματος καὶ ψυχῆς πάθος, ὕπνος.

## II$^{1}$2125 / K cap. Υ 3, 11

Κλήμεντος, ἐκ τοῦ δʹ Στρώματος·

Ὅσα περὶ ὕπνου λέγουσι, τὰ αὐτὰ χρὴ καὶ περὶ θανάτου ἐξακούειν· ἑκάτερος γὰρ δηλοῖ τὴν ἀποστασίαν τῆς ψυχῆς, ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 29.9./9. (ed. Ihm, p. 620–621) **10 – 12** exstat ibid., 29.12./12. (p. 622)

---

**3 – 4 II$^{1}$2123** Iohannes Chrysostomus, *De Davide et Saule*, II, 2, 57–59 (ed. Barone, p. 34) **7 II$^{1}$2124** Eustathius Antiochenus, *Contra Ariomanitas et de anima*, locus non repertus, fragm. 8, 18 (ed. Declerck, p. 69) **10 – 12 II$^{1}$2125** Clemens Alexandrinus, *Stromata*, IV. Cap. XXII. 141, 1 (ed. Stählin/Früchtel/Treu, p. 310, 18–20)

---

**2 – 4 II$^{1}$2123** K cap. Υ 3, 9 (267r[17–18]19–20); V cap. Υ 3, 9; P cap. Υ 11, 9; M cap. Υ 11, 6; E cap. 246, 5; R cap. Υ 11, 2; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 376, 31–32 **6 – 7 II$^{1}$2124** K cap. Υ 3, 10 (267r[20]21); V$^{E}$V$^{W}$V$^{Ph}$ cap. Υ 3, 10; P cap. Υ 11, 10; M cap. Υ 11, 7; E cap. 246, 6; R cap. Υ 11, 3; *deest in* V$^{O}$ H$^{I}$ L$^{b}$ **9 – 12 II$^{1}$2125** K cap. Υ 3, 11 (267r[22]23–267v1); V$^{E}$V$^{W}$V$^{Ph}$ cap. Υ 3, 11; P cap. Υ 11, 11; M cap. Υ 11, 8; R cap. Υ 11, 4; *deest in* V$^{O}$ H$^{I}$ L$^{b}$ E; PG 86, 2097, 5–8

---

**II$^{1}$2123** (a) K (b) Τοῦ Χρυσοστόμου V PM E R Τοῦ] *om.* V$^{W}$ E **II$^{1}$2124** (a) K (b) Τοῦ ἁγίου Εὐσταθίου R (c) Εὐσταθίου V$^{E}$V$^{W}$V$^{Ph}$ PM ευσταθίου PM (d) *s. a.* E **II$^{1}$2125** (a) K PM κλημεντος M δʹ] *scripsi*, αʹ K PM (b) Τοῦ ἁγίου Κλήμεντος Ἀλεξανδρείας R (c) Κλήμεντος V$^{E}$V$^{W}$V$^{Ph}$

---

**3** οὐδὲν ἕτερόν ἐστιν] οὐδέν ἐστιν E καὶ] *om.* K **10** τὰ αὐτὰ] ταυτα *(sic)* M

*II$^{2}$ / PML$^{b}$ cap. Υ 1

## Τίτλος δʹ Περὶ ὑγείας, καὶ ὅτι πάντων διαφέρει.

## ηʹ Περὶ ὑγείας, καὶ ὅτι πάντων διαφέρει.

*II$^{2}$2665 / PML$^{b}$ cap. Υ 1, 8

### II$^{1}$2126 / K cap. Υ 4, 1

Ἀπὸ τοῦ Σιράχ·

Κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει
ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ.

*II$^{2}$2662 / PML$^{b}$ cap. Υ 1, 5

### II$^{1}$2127 / K cap. Υ 4, 2

Τοῦ αὐτοῦ·

Ὑγεία καὶ εὐεξία παντὸς χρυσίου βελτίων,
σῶμα εὔρωστον ἢ ὄλβος ἄμετρος.

---

**5 – 6 II$^{1}$2126** Sir. 30, 14$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 128) **9 – 10 II$^{1}$2127** Sir. 30, 15$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 128)

---

**1 Titlos (a)** K (267v2) **2 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$ **4 – 6 II$^{1}$2126** K cap. Υ 4, 1 (267v[2]3–4); V cap. Υ 8, 1; *deest in* H$^{I}$; PG 96, 380, 23–24 **8 – 10 II$^{1}$2127** K cap. Υ 4, 2 (267v[4]5–6); V cap. Υ 8, 2; *deest in* H$^{I}$; PG 96, 380, 25–26

---

**1 Titlos (a)** Τίτλος δʹ] εδʹ *(sic)* K$^{pin}$ *(δʹ secund. ser.)* **2 Titlos (b)** ηʹ] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(ηʹ secund. ser.)*, *praem.* τίτλος V$^{W\ txt}$ ὑγιείας V$^{E\ pin}$ V$^{O\ pin}$ διαφέρειν V$^{O\ pin}$

---

**II$^{1}$2126** (a) K (b) Σιράχ V **II$^{1}$2127** (a) K (b) Βασιλείου V$^{E}$V$^{O}$ (c) *s. a.* V$^{W}$

---

**5** κρεῖσσον V$^{E}$V$^{W\ p.\ c.}$ V$^{O}$, κρίσσον V$^{W\ a.\ c.}$ καὶ – ἕξει] *om.* V$^{E}$V$^{O}$ καὶ ἰσχύων] *om.* V$^{W}$ **6** μεμαστιγωμένος] *scripsi (LXX)*, μεμαστηγωμένος V$^{E}$V$^{O}$, μεμαστιγομένος V$^{W}$, ἐμμαστιγωμένος K **9** ὑγιεῖα K χρυσοῦ V$^{W\ a.\ c.}$ βελτίων] βέλτιον *e corr.* V$^{W}$, βελτίω V$^{E}$V$^{O}$ **10** σῶμα] *praem.* καὶ V$^{W\ p.\ c.}$ ὄλβος ἄμετρος] ὀβολοὺς *(sic)* ἀμέτρους K

## II$^{1}$2128 / K cap. Υ 4, 3

***II$^{2}$2663 / PML$^{b}$ cap. Υ 1, 6**

Τοῦ αὐτοῦ·

Οὐκ ἔστι πλοῦτος βελτίων ὑγείας σώματος.

## II$^{1}$2129 / K cap. Υ 4, 4

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ νηστείας α′·

Ὑγεία ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν ἐναντίων.

## II$^{1}$2130 / K cap. Υ 4, 5

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ περὶ εὐταξίας·

Ὑγείας ἐπιλαβούσης, ἡ νόσος ἐξαφανίζεται.

---

**3 II$^{1}$2128** Sir. 30, 16$^{1}$ (Wahl, *Sirach-Text*, p. 128–129) **6 II$^{1}$2129** Basilius Caesariensis, *De ieiunio homilia I*, 8 (PG 31, 177, 1–2) **9 II$^{1}$2130** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, locus non repertus, re vera Gregorius Nyssenus, *De beatitudinibus*, VII (ed. Callahan, p. 154, 15)

---

**2 – 3 II$^{1}$2128** K cap. Υ 4, 3 (267v[6]7); V$^{E}$V$^{W}$V$^{Ph}$ cap. Υ 8, 3; *deest in* V$^{O}$ H$^{I}$ **5 – 6 II$^{1}$2129** K cap. Υ 4, 4 (267v[7]8–9); V$^{E}$V$^{W}$ cap. Υ 8, 4; V$^{O}$ cap. Υ 8, 3; PM cap. Υ 1, 1; E cap. 236, 1 et 6; *deest in* H$^{I}$; PG 96, 380, 27–28 **8 – 9 II$^{1}$2130** K cap. Υ 4, 5 (267v[9]10); V$^{E}$V$^{W}$ cap. Υ 8, 6; V$^{O}$ cap. Υ 8, 5; PM cap. Υ 1, 3; E cap. 236, 8; *deest in* H$^{I}$; PG 96, 380, 28–29

---

**II$^{1}$2128** (a) K (b) Βασιλείου *(cf. locum sequentem)* V$^{W}$ (c) *s. a.* V$^{E}$V$^{Ph}$ **II$^{1}$2129** (a) K (b) Τοῦ ἁγίου Βασιλείου PM βασιλειου M (c) Βασιλείου E$^{cap.\ 236,\ 4}$ (d) Τοῦ Νύσης V$^{E}$V$^{O}$ (e) *s. a. (cf. lemma loci praecedentis)* V$^{W}$ (f) Σιράχ E$^{cap.\ 236,\ 1}$ **II$^{1}$2130** (a) K (b) Τοῦ Νύσης PM E Τοῦ] *om.* E νυσης M (c) Χρυσοστόμου V$^{W}$ (d) *s. a.* V$^{E}$V$^{O}$

---

**3** πλοῦτος] *om.* K βέλτιον K ὑγίας K$^{a.\ c.\ ut\ videtur}$, ὑγιείας K$^{p.\ c.}$ V$^{W}$ **6** Ὑγεία] ὕγεια PM, ὑγία V$^{W\ a.\ c.}$, ὑγιεῖα K, *add.* καὶ εὐεξία E$^{cap.\ 236,\ 1}$ *(cf.* II$^{1}$2127 / K cap. Υ 4, 2*)* ποθεινοτέρα] ποθηνοτερα P, ποθηνοτερα ἐστι M **9** ὑγειας M, ὕγειας P, ὑγίας V$^{W\ a.\ c.}$, ὑγιείας K ἡ] *om.* V PM E

## II$^{1}$2131 / K cap. Υ 4, 6

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῶν εἰς τοὺς μακαρισμούς·

Κοινὸν δῶρον ὑγεία.

## II$^{1}$2132 / K cap. Υ 4, 7

Κλήμεντος, ἐκ τοῦ α′ Παιδαγωγοῦ·

Ἄριστον μὲν ὑγιαίνειν ἀεί, καλὸν δὲ καὶ ἀνασφῆλαι μετὰ τὴν νόσον.

---

**6** Plat., *Leg.* II, 661a5–6

---

**3 II$^{1}$2131** Gregorius Nyssenus, *De beatitudinibus*, locus non repertus, re vera Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 22, 16 (ed. Moreschini, p. 132) **6 – 7 II$^{1}$2132** Clemens Alexandrinus, *Paedagogus*, I. Cap. IX. 81, 3 (ed. Stählin/Treu, p. 138, 3–4); Holl, n° 187, 2–3

---

**2 – 3 II$^{1}$2131** K cap. Υ 4, 6 (267v[11]12); V$^{E}$V$^{W}$ cap. Υ 8, 5; V$^{O}$ cap. Υ 8, 4; PM cap. Υ 1, 2; E cap. 236, 7; *deest in* H$^{I}$; PG 96, 380, 28 **5 – 7 II$^{1}$2132** K cap. Υ 4, 7 (267v [12]13–14); V$^{E}$V$^{W}$ cap. Υ 8, 7; V$^{O}$ cap. Υ 8, 6; PM cap. Υ 1, 4; E cap. 236, 9; *deest in* H$^{I}$; PG 96, 380, 30–31

---

**II$^{1}$2131** (a) K (b) Τοῦ Θεολόγου, περὶ εὐταξίας PM (c) Θεολόγου E (d) *s. a.* V$^{E}$V$^{W}$ (e) *s. d.* V$^{O}$ **II$^{1}$2132** (a) K PM κλημεντος M (b) Κλήμεντος V$^{E}$V$^{O}$ E κλημεντος E (c) *s. a.* V$^{W}$

---

**3** ὑγεία] ϋγεια P, ϋγεία M, ὑγία V$^{W\ a.\ c.}$, ὑγιεῖα K, *praem.* ἡ M E **6** ἀνασφάλαι *(*-σφα- P*)* V$^{W}$ P E, ἀνασφαιλαι M

**Τίτλος ε′ Περὶ ὑπονοίας, καὶ ὅτι χρὴ φεύγειν τὰς ἀφορμὰς τὰς τικτούσας ὑπονοίας κακάς.**

**θ′ Περὶ ὑπονοίας, καὶ ὅτι χρὴ φεύγειν τὰς ἀφορμὰς τὰς τικτούσας ὑπονοίας κακάς.**

**ιε′ Περὶ ὑπονοίας, ὅτι χρὴ φεύγειν τὰς ἀφορμὰς τὰς τικτούσας ὑπονοίας κακάς.**

## II$^1$2133 / K cap. Υ 5, 1

Ἐκ τῆς πρὸς Κορινθίους α′ ἐπιστολῆς·

Μὴ δότε ἀφορμὴν τοῖς θέλουσιν ἀφορμήν.

---

**1** ἀφορμὰς] cf. II$^1$ / K$^{pin}$ Παραπομπὴ Α 16 **9** similiter ap. Bas. Caes., *Asceticon magnum sive Quaestiones (regulae fusius tractatae)*, XV, 1 (PG 31, 952, 23); eund., *Epistulae*, CCXXIX, 2, 8–9 (ed. Courtonne, III, p. 35)

---

**9 II$^1$2133** I Cor., re vera II Cor. 11, 12 (non ad verbum)

---

**1 – 2 Titlos (a)** K (267v14–16) **3 – 4 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^I$A$^{I\ txt}$ **5 – 6 Titlos (c)** PML$^{b\ pin}$ E R; *deest in* L$^{b\ txt}$ **8 – 9 II$^1$2133** K cap. Υ 5, 1 (267v[16]17); V cap. Υ 9, 1; PM cap. Υ 15, 1; E cap. 248, 1; R cap. Υ 15, 1; *deest in* H$^I$ L$^b$; PG 96, 380, 35

---

**1 – 2 Titlos (a)** **1** Τίτλος ε′] *om.* K$^{pin}$ *(ε′ secund. ser.)* ὑπονοίας] *post* κακὰς *transpos.* K$^{pin}$ **3 – 4 Titlos (b)** **3** θ′] *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(θ′ secund. ser.)*, *praem.* τίτλος V$^{W\ txt}$ καὶ] *om.* V$^{E\ pin}$ V$^{W\ txt}$ V$^{O\ pin}$ τὰς$^2$] *om.* V$^{O\ txt}$ **5 – 6 Titlos (c)** **5** ιε′] σμη′ E, *praem.* τίτλος R$^{txt}$ **5 – 6** ὅτι – κακάς] *om.* M$^{pin}$

---

**II$^1$2133** (a) K (b) Πρὸς Κορινθίους α′ V$^E$V$^O$ PM R α′] *om.* V$^E$V$^O$ M (c) Ἀποστόλου V$^W$ E

---

**9** δῶτε E R

## II$^{1}$2134 / K cap. Υ 5, 2

Κλήμεντος, ἐκ τοῦ γʹ Παιδαγωγοῦ·

Οὐ τὸ καθαρεύειν ἀπόχρη τοῖς σώφροσιν, ἀλλὰ καὶ τὸ μὴ ὑποκεῖσθαι ψόγοις ἀσπαστέον, πᾶσαν ἀποκλείσαντας ὑπονοίας αἰτίαν.

## II$^{1}$2135 / K cap. Υ 5, 3

Τοῦ ἁγίου Ἰγνατίου, ἐκ τῆς πρὸς <τοὺς ἐν> Τράλλεσιν ἐπιστολῆς·

Μηδεὶς ὑμῶν κατὰ τοῦ πλησίον ἐχέτω τι. Μὴ ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν, ἵνα μὴ δι᾽ ὀλίγους ἄφρονας τὸ ἔνθεον πλῆθος βλασφημῆται.

## <II$^{1}$suppl. 405 / E cap. 248, 3>

**10 II$^{1}$suppl. 405** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

**3 – 4 II$^{1}$2134** Clemens Alexandrinus, *Paedagogus*, III. Cap. XI. 83, 2 (ed. Stählin/Treu, p. 282, 3–5); Holl, n° 205 **7 – 9 II$^{1}$2135** Ignatius Antiochenus, *Epistula ad Trallianos*, 8, 2 (ed. Fischer, p. 176, 17–19)

**2 – 4 II$^{1}$2134** K cap. Υ 5, 2 (267v[18]19–21); *deest in* V H$^{I}$ PML$^{b}$ E R **6 – 9 II$^{1}$2135** K cap. Υ 5, 3 (267v[22]23–268r3); V cap. Υ 9, 2; PM cap. Υ 15, 2; E cap. 248, 2; R cap. Υ 15, 2; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 380, 36–38

**II$^{1}$2135** (a) K τοὺς ἐν] *supplevi, om. cod. (cf. etiam* II$^{1}$842 / K cap. E 4, 5*)* τραλέσσιν *cod.* (b) Τοῦ ἁγίου Ἰγνατίου PM R ϊγνατίου PM (c) Ἰγνατίου V E ἰγνατίου V$^{E}$V$^{O}$, ιγνατίου V$^{W}$

**3** καθαρεύειν] *correxi (ed.),* καθερεύειν K ἀπόχρη] *scripsi (ed.),* ἀποχρὴ K **3 – 4** ὑποκεῖσθαι] *scripsi,* ὑπόκεισθαι K **7** Μὴ] *om.* M ἀφορμᾶς P, ἀφορμὴν M δίδοται V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$ **8 – 9** βλασφημεῖται *(*-ειται M*)* V PM

**Τίτλος ς′ Περὶ ὑδροποτούντων.**

**β′ Περὶ ὑδροποτούντων.**

**ι′ Περὶ ὑδροποτούντων.**

## II$^{1}$2136 / K cap. Υ 6, 1

Ἰεζεκιὴλ προφήτου·

Πάντες οἱ πίνοντες ὕδωρ, πάντες ἐδόθησαν εἰς θάνατον.

## II$^{1}$2137 / K cap. Υ 6, 2

Τοῦ αὐτοῦ·

…καὶ τὰ ἐκλεκτὰ τοῦ Λιβάνου, πάντα πίνοντα ὕδωρ· καὶ αὐτοὶ κατέβησαν μετ᾽ αὐτοῦ εἰς Ἅδην.

## <II$^{1}$suppl. 406 / V cap. Υ 2, 3>

---

**11 II$^{1}$suppl. 406** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**6 II$^{1}$2136** Ez. 31, 14 (Wahl, *Prophetenzitate*, p. 656) **9 – 10 II$^{1}$2137** Ez. 31, 16–17 (Wahl, *Prophetenzitate*, p. 657)

---

**1 Titlos (a)** K (268r3) **2 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$ **3 Titlos (c)** PML$^{\text{b pin}}$ E R; *deest in* L$^{\text{b txt}}$ **5 – 6 II$^{1}$2136** K cap. Υ 6, 1 (268r[3]4–5); V cap. Υ 2, 1; PM cap. Υ 10, 1; E cap. 245, 1; R cap. Υ 10, 1; *deest in* H$^{\text{I}}$ L$^{\text{b}}$; PG 96, 373, 30–31 **8 – 10 II$^{1}$2137** K cap. Υ 6, 2 (268r[5]6–7); V cap. Υ 2, 2; PM cap. Υ 10, 2; E cap. 245, 2; R cap. Υ 10, 2; *deest in* H$^{\text{I}}$ L$^{\text{b}}$; PG 96, 373, 31–33

---

**1 Titlos (a)** Τίτλος ς′] *om.* K$^{\text{pin}}$ *(ς′ secund. ser.)* **2 Titlos (b)** β′] *om.* V$^{\text{O txt}}$ *(β′ secund. ser.)*, *praem.* τίτλος V$^{\text{W txt}}$ **3 Titlos (c)** ι′] cμε′ E, *praem.* τίτλος R$^{\text{txt}}$ ὑδροποτούντων] *praem.* τῶν L$^{\text{b pin}}$

---

**II$^{1}$2136** (a) K P ϊεζεκιήλ P (b) Ἰεζεκιήλ V E R ἰεζεκιήλ V R (c) Τοῦ Ἐκκλησιαστοῦ M **II$^{1}$2137** (a) K (b) *s. a.* V$^{\text{E}}$V$^{\text{O}}$ (c) *s. d.* V$^{\text{W}}$ PM E R

---

**6** πάντες] *om.* E ἐδέθησαν V$^{\text{W}}$ **9** ἐλεκτα *(sic)* P τοῦ Λιβάνου] τουλυάνου V$^{\text{W}}$ αὐτὰ E **10** ᾅδην R, αδην M

## II$^1$2138 / K cap. Υ 6, 3

Τοῦ ἁγίου Βασιλείου, περὶ νηστείας·

Οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος. Οὐδενὸς ὠδυνήθη κεφαλὴ ποτέ, ὕδατι βαρηθεῖσα. Οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη, ὑδροποσίᾳ συζῶν. Οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν.

## II$^1$2139 / K cap. Υ 6, 4

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου·

Θέλεις πιεῖν; Βρύει σοι
Ὕδωρ, κρατὴρ ἀείρρους,
Ποτὸν μέθης ἄποιον,
Ἀκλήματον γάνυσμα.

---

**3 – 5 II$^1$2138** Basilius Caesariensis, *De ieiunio homilia I*, 9 (PG 31, 177, 16–20) **8 – 11 II$^1$2139** Gregorius Nazianzenus, *Carmina*, II,1,88 *(Ad suam animam carmen Anacreonticum)*, 125–128 (PG 37, 1440, 7–11)

---

**2 – 5 II$^1$2138** K cap. Υ 6, 3 (268r[mg]8–12); V cap. Υ 2, 4; PM cap. Υ 10, 4; E cap. 245, 4; R cap. Υ 10, 4; *deest in* H$^{I}$ L$^{b}$; PG 96, 373, 36–39 **7 – 11 II$^1$2139** K cap. Υ 6, 4 (268r[12]13–14); V cap. Υ 2, 5; PM cap. Υ 10, 5; E cap. 245, 5; *deest in* H$^{I}$ L$^{b}$ R; PG 96, 373, 40–41

---

**II$^1$2138** (a) PM βασιλειου M (b) Τοῦ ἁγίου Βασιλείου K R (c) Βασιλείου V E **II$^1$2139** (a) K (b) Τοῦ Θεολόγου, ἐκ τῶν Ἐπῶν P (c) Τοῦ Θεολόγου V M E Τοῦ] *om.* V$^{W}$ E

---

**3** ἐκρεπάλησεν *(-πα- M)* V$^{E}$V$^{O}$ M, ἐκραπάλισεν V$^{W\ p.c.}$, ἐκρεπάλισεν *(-πα- P)* V$^{W\ a.c.}$ P ὀδυνήθη *(ὀ- V$^{E}$, ο- P)* K V P κεφαλὴ] *post* ποτὲ *transpos.* PM E R **5** Οὐδενὸς – ἀπηχρειώθησαν] *om.* E ἐδεήθησαν *(ἐδεη- M)* V$^{E}$ M, οἰδέθησαν V$^{W}$, οἰδαίθησαν K, οἴδησαν P R πόδες] *praem.* οἱ K ἀπηχρειώθησαν] -ηχ- *e corr.* V$^{W}$, ἀπηχριώθησαν V$^{E}$ P, ἀπηχρϊώθητϊ *(sic)* V$^{O}$ **9** κρατὴρ ἀείρους V$^{W}$, καρτῆρα εἴρους E, καρατηρα είρους P **10** πότον K V$^{W}$, ποτον PM **11** ἀνυσμα M

# Στοιχεῖον Φ

## Τίτλος αʹ  Περὶ φιλοξενίας.

## αʹ  Περὶ φιλοξενίας καὶ φιλαδελφίας.

### II$^{1}$2140 / K cap. Φ 1, 1

Τῆς Γενέσεως·

Ὤφθη ὁ θεὸς τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν, καὶ ἰδοὺ τρεῖς ἄνδρες είστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν ἔδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπεν· Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου· ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. Καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν.

---

**6 – 15 II$^{1}$2140** Gen. 18, 1–5

---

**1 Stoicheion** K$^{txt}$ (268r15) K$^{pin}$ **2 Titlos (a)** K (268r15) **3 Titlos (b)** V; *deest in* H$^{I}$A$^{I}$ *(lac. in* A$^{I\,pin}$*)* **5 – 15 II$^{1}$2140** K cap. Φ 1, 1 (268r[15]16–268v6); V cap. Φ 1, 1; *deest in* H$^{I}$; PG 96, 388, 26–36

---

**3 Titlos (b)** αʹ] *praem.* τίτλος αʹ V$^{E\,pin}$ V$^{O\,pin}$, *praem.* τίτλος V$^{W\,txt}$ φιλοξενίας] φιλοξένων V$^{W\,txt}$ φιλαδελφίας] φιλανθρωπίας καὶ ἐλεημοσύνης V$^{E\,pin}$ V$^{O\,pin}$

---

**II$^{1}$2140** (a) K Γενέσεως] *scripsi*, κτίσεως K (b) Γενέσεως V$^{E}$V$^{O}$ (c) *s. a.* V$^{W}$

---

**6** ἀβραὰμ V$^{W}$ τῇ$^{1}$] τὴν V$^{O}$ τῇ$^{2}$] τὴν V$^{O}$ μαβρὴ V$^{E}$V$^{O}$ **8** ἴδεν K V$^{W}$ ἰστήκησαν V$^{E}$V$^{O}$, ἰστίκισαν V$^{W\,a.\,c.}$ **9 – 10** ἀπὸ – αὐτοῦ] *om.* V **11** Κύριε] *om.* K **13** ὑπὸ] *s. l.* K τὸ] τῶν V$^{O}$ **14 – 15** οὗ – ὑμῶν] *om.* V

## II$^{1}$2141 / K cap. Φ 1, 2

Τῆς αὐτῆς·

Ἦλθον οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων. Ἰδὼν δέ, Λὼτ ἐξανέστη εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν, καὶ εἶπεν· Ἰδού, κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. Καὶ εἶπον· Οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν. Καὶ κατεβιάσατο αὐτούς, καὶ ἐξέκλιναν πρὸς αὐτόν.

## II$^{1}$2142 / K cap. Φ 1, 3

Ἐκ τῆς αὐτῆς·

Ἀκούσας Λάβαν τὰ ῥήματα τῆς ἀδελφῆς αὐτοῦ, ἦλθε πρὸς τὸν ἄνθρωπον, ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς γῆς, καὶ εἶπεν αὐτῷ· Δεῦρο, εἴσελθε· εὐλογητὸς κύριος· ἱνατί ἕστηκας ἔξω;

## II$^{1}$2143 / K cap. Φ 1, 4

Τῆς Ἐξόδου·

Προσήλυτον οὐ κακώσετε, οὐδὲ μὴ θλίψητε αὐτόν· ἦτε γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτου.

---

**3 – 9 II$^{1}$2141** Gen. 19, 1–3 **12 – 14 II$^{1}$2142** Gen. 24, 30–31 **17 – 18 II$^{1}$2143** Ex. 22, 21

---

**2 – 9 II$^{1}$2141** K cap. Φ 1, 2 (268v[6]7–16); V cap. Φ 1, 2; *deest in* H$^{I}$; PG 96, 388, 37–45 **11 – 14 II$^{1}$2142** K cap. Φ 1, 3 (268v[16]17–20); V cap. Φ 1, 3; *deest in* H$^{I}$; PG 96, 388, 46–49 **16 – 18 II$^{1}$2143** K cap. Φ 1, 4 (268v[20]21–22); V cap. Φ 1, 4; *deest in* H$^{I}$; PG 96, 388, 50–51

---

**II$^{1}$2141** (a) K V$^{W}$ (b) *s. a.* V$^{E}$V$^{O}$ **II$^{1}$2142** (a) K (b) *s. a.* V **II$^{1}$2143** (a) K (b) Ἐξόδου V

---

**6** κύριε K V$^{W}$ **7** νίψασθε] *scripsi (LXX)*, νήψασθε K, νίψατε V εἰς] *om.* K **8** ἀλλὰ V$^{W}$ **13** γῆς] πηγῆς V$^{W}$ **17** κακώσητε K, κακώσεται V$^{O}$ θλίψετε V **18** γῇ] τῇ V$^{E}$V$^{O}$ αἰγύπτω V

## II$^{1}$2144 / K cap. Φ 1, 5

Λευϊτικοῦ·

Ἐάν τις προσέλθῃ ἐν ὑμῖν προσήλυτος ἐν τῇ γῇ ὑμῶν, οὐ θλίψετε αὐτόν· ὡς αὐτόχθων ἔσται ἐν ὑμῖν ὁ προσήλυτος ὁ προσπορευόμενος πρὸς ὑμᾶς, καὶ ἀγαπήσεις αὐτὸν ὡς σεαυτόν.

## II$^{1}$2145 / K cap. Φ 1, 6

Ἀπὸ τῶν Κριτῶν·

Εἶπεν ὁ ἀνὴρ ὁ πρεσβύτης· Ποῦ πορεύῃ καὶ πόθεν ἔρχῃ; Καὶ εἶπεν πρὸς αὐτόν· Διαβαίνομεν ἡμεῖς ἐκ Βηθλεὲμ τῆς Ἰούδα ἕως μερῶν τοῦ ὄρους Ἐφραίμ, καὶ οὐκ ἔστιν ἀνὴρ ὁ συνάγων με εἰς τὴν οἰκίαν· καί γε ἄχυρα καὶ χορτάσματα ὑπάρχει τοῖς ὄνοις ἡμῶν, καί γε ἄρτοι καὶ οἶνος ὑπάρχει μοι καὶ τῇ δούλῃ σου καὶ τῷ παιδαρίῳ, καὶ οὐκ ἔστιν ὑστέρημα παντὸς πράγματος. Καὶ εἶπεν ὁ ἀνὴρ ὁ πρεσβύτης· Εἰρήνη σοι, πλὴν πᾶν τὸ ὑστέρημά σου ἐπ᾽ ἐμέ· πλὴν ἐν τῇ πλατείᾳ μὴ καταλύσῃς. Καὶ εἰσήγαγεν αὐτὸν εἰς τὴν οἰκίαν αὐτοῦ, καὶ ἀπήγαγε τοὺς ὄνους, καὶ παρενέβαλε τοῖς ὑποζυγίοις αὐτοῦ χορτάσματα, καὶ ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔφαγον καὶ ἔπιον.

---

**3 – 5 II$^{1}$2144** Lev. 19, 33–34 **8 – 18 II$^{1}$2145** Iud. 19, 17–21 (Wahl, *Richter-Text*, p. 39–40)

---

**2 – 5 II$^{1}$2144** K cap. Φ 1, 5 (268v[22]23–269r3); V cap. Φ 1, 5; *deest in* H$^{I}$; PG 96, 388, 52–54 **7 – 18 II$^{1}$2145** K cap. Φ 1, 6 (269r[3]4–17); V cap. Φ 1, 6; *deest in* H$^{I}$; PG 96, 389, 1–10

---

**II$^{1}$2144** (a) V (b) Τῆς αὐτῆς K **II$^{1}$2145** (a) K (b) Κριτῶν V κρητῶν V$^{E}$V$^{W}$

---

**4 – 5** ὁ$^{1}$ – σεαυτόν] *om.* V **8** ὁ$^{1}$] *om.* V$^{O}$ πορεύει V$^{E}$V$^{O\ p.\ c.}$ **9** ἐκ] ἐν K βιθλεὲμ V ἰοῦδα V$^{W\ a.\ c.}$ μερῶν] μηρῶν *LXX* **11 – 13** καί$^{1}$ – πράγματος] *om.* V **14** Εἰρήνη σοι] εἰρήνευσον V$^{O}$ πλὴν$^{1}$] *om.* V **15** καταλύσεις K$^{a.\ c.\ ut\ videtur}$ V$^{E}$V$^{O}$ **16** παρενέβαλλε V$^{W}$

## II$^{1}$2146 / K cap. Φ 1, 7

Ἀπὸ τοῦ Ἰώβ·

Ἔξω οὐκ ηὐλίζετο ξένος,
ἡ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο.

## II$^{1}$2147 / K cap. Φ 1, 8

Ματθαίου, ἐν κεφαλαίῳ ρθʹ·

Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται.

## II$^{1}$2148 / K cap. Φ 1, 9

Τῶν Πράξεων·

Διασωθέντες δὲ ἔγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται. Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυράν, προσανελάμβανον πάντας ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψύχος.

---

**3 – 4 II$^{1}$2146** Iob 31, 32$^{1-2}$ **7 – 9 II$^{1}$2147** Matth. 10, 41 **12 – 15 II$^{1}$2148** Act. 28, 1–2

---

**2 – 4 II$^{1}$2146** K cap. Φ 1, 7 (269r[17]18–19); V cap. Φ 1, 7; *deest in* H$^{I}$; PG 96, 389, 11–12 **6 – 9 II$^{1}$2147** K cap. Φ 1, 8 (269r[19]20–23); V cap. Φ 1, 8; *deest in* H$^{I}$; PG 96, 389, 13–15 **11 – 15 II$^{1}$2148** K cap. Φ 1, 9 (269r[23]24–269v3); V cap. Φ 1, 9; *deest in* H$^{I}$; PG 96, 389, 16–20

---

**II$^{1}$2146** (a) K (b) Ἰώβ V ἰωβ V$^{W}$ **II$^{1}$2147** (a) K (b) Ματθαίου V$^{E}$V$^{O}$ (c) *s. a.* V$^{W}$ **II$^{1}$2148** Τῶν] *om.* V

---

**4** ἡ] *s. l.* V$^{W}$ **8** ὄνομα] *praem.* τὸ V$^{E}$ **13** φιλανθρωπίαν] *om.* K ἡμῖν] *om.* V ἅψαντες K V$^{W}$ **14** γὰρ] δὲ K V$^{W}$ προσελάβοντω *(sic)* V$^{E}$V$^{O}$ **15** καὶ] *om.* K ψύχος] ψῦχος V$^{W}$

## II$^1$2149 / K cap. Φ 1, 10

Καὶ μετ᾽ ὀλίγα·

Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Πουπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν.

## II$^1$2150 / K cap. Φ 1, 11

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς·

Ἡ φιλαδελφία μενέτω. Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθον τινὲς ξενίσαντες ἀγγέλους.

## II$^1$2151 / K cap. Φ 1, 12

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τῶν διστίχων Γνωμῶν·

Ξείνων ἡμεδαπῶν περιφείδεο.

---

**3 – 5 II$^1$2149** Act. 28, 7 **8 – 9 II$^1$2150** Hebr. 13, 1–2 **12 II$^1$2151** Gregorius Nazianzenus, *Carmina*, I,2,31 *(Distichae sententiae)*, 57 (PG 37, 915, 3)

---

**2 – 5 II$^1$2149** K cap. Φ 1, 10 (269v[4]4–7); V cap. Φ 1, 10; *deest in* H$^I$; PG 96, 389, 20–23 **7 – 9 II$^1$2150** K cap. Φ 1, 11 (269v[7]8–10); V cap. Φ 1, 11; *deest in* H$^I$; PG 96, 389, 24–26 **11 – 12 II$^1$2151** K cap. Φ 1, 12 (269v[10]11); *deest in* V H$^I$

---

**II$^1$2149** (a) K (b) *s. d.* V **II$^1$2150** (a) K (b) Πρὸς Ἑβραίους V$^E$V$^O$ (c) *s. a.* V$^W$ **II$^1$2151** διστίχων] *correxi*, Δ΄στίχων K

---

**4** νήσωι K **5** ἐξένησε V$^E$, ἐξένης V$^O$ **8** ἐπιλανθάνεσθε] ἐπιλανθάνησθε K **12** Ξείνων ἡμεδαπῶν] *correxi (ed.)*, ξείνωι νεῖμε δ᾽ ἀπὼν K

## II$^{1}$2152 / K cap. Φ 1, 13

Ἐκ τῶν μονοστίχων Γνωμῶν·

Ξένον σεαυτὸν ἴσθι, καὶ τίμα ξένους.

## II$^{1}$2153 / K cap. Φ 1, 14

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν νέαν Κυριακήν·

Μὴ ἀτιμάσῃς τὸν ξένον, ἐπεὶ καὶ ἡμεῖς *ξένοι καὶ πάροικοι*· γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι.

## II$^{1}$2154 / K cap. Φ 1, 15

Ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Ξένος προσέπεσεν, ἄοικος, παρεπίδημος· ὑπόδεξαι διὰ τούτου τὸν διὰ σὲ ξενιτεύσαντα, καὶ ταῦτα ἐν τοῖς ἰδίοις.

---

**6** Eph. 2, 19; cf. etiam Lev. 25, 23

---

**3 II$^{1}$2152** Gregorius Nazianzenus, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 14 (PG 37, 909, 13) **6 II$^{1}$2153** Μὴ – πάροικοι] Gregorius Nazianzenus, *In novam Dominicam (Orat. 44)*, 7 (PG 36, 616, 3–5) **6 – 7** γενώμεθα – φίλαυτοι] Id., re vera *In Pentecosten (Orat. 41)*, 7, 15 (ed. Moreschini, p. 330) **10 – 11 II$^{1}$2154** Gregorius Nazianzenus, *In S. baptisma (Orat. 40)*, 31, 18–20 (ed. Moreschini, p. 268)

---

**2 – 3 II$^{1}$2152** K cap. Φ 1, 13 (269v[11]12); V cap. Φ 1, 12; *deest in* H$^{I}$; PG 96, 389, 27 **5 – 7 II$^{1}$2153** K cap. Φ 1, 14 (269v[12]13–15); V cap. Φ 1, 13–14; *deest in* H$^{I}$; PG 96, 389, 28–30 **9 – 11 II$^{1}$2154** K cap. Φ 1, 15 (269v[15]16–18); V cap. Φ 1, 15; *deest in* H$^{I}$; PG 96, 389, 31–33

---

**II$^{1}$2152** (a) K (b) Τοῦ Θεολόγου V$^{E}$V$^{W}$ (c) *s. a.* V$^{O}$ **II$^{1}$2153** (a) K (b) Τοῦ αὐτοῦ / *s. a.* V$^{W}$ *(cf. infra, app. crit. text.)* (c) *s. a.* / *s. a.* V$^{E}$V$^{O}$ *(cf. infra, app. crit. text.)* **II$^{1}$2154** (a) K (b) Τοῦ αὐτοῦ V$^{W}$ (c) *s. a.* V$^{E}$V$^{O}$

---

**6** πάροικοι] *hic caesura in* V **6 – 7** γενώμεθα] *scripsi (ed.)*, γενόμεθα V$^{E}$V$^{W\ a.\ c.}$V$^{O}$, ἐγενόμεθα K, ἐγενόμεθα V$^{W\ p.\ c.}$

## <II$^{1}$suppl. 407–408 / V cap. Φ 1, 16; 18>

## II$^{1}$2155 / K cap. Φ 1, 16

Εὐαγρίου·

Ξένος καὶ πένης, θεοῦ κολλύριον· ὁ δεχόμενος αὐτούς, ταχέως ἀναβλέψει.

## II$^{1}$2156 / K cap. Φ 1, 17

Συνεσίου·

Κοινὸν ἀμφοῖν ἀγαθὸν ἡ φιλαδελφία.

---

**1 II$^{1}$suppl. 407–408** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

**4 – 5 II$^{1}$2155** Euagrius Ponticus, *Spirituales sententiae per alphabeticum dispositae* (ed. Elter, p. LIII.38–39) **8 II$^{1}$2156** Synesius Pentapolitanus (Cyrenensis), locus non repertus

---

**3 – 5 II$^{1}$2155** K cap. Φ 1, 16 (269v[18]19–20); V cap. Φ 1, 17; *deest in* H$^{I}$; PG 96, 389, 41–42 **7 – 8 II$^{1}$2156** K cap. Φ 1, 17 (269v[20]21); *deest in* V H$^{I}$

---

**4** κουλούρϊον V$^{O}$

*II[2] / PML[b] cap. Φ 2

## Τίτλος β′ Περὶ φθόνου καὶ τῶν ὑπὸ τοιούτου πάθους κεκρατημένων.

## ιβ′ Περὶ φθόνου καὶ ζήλου.

*II[2]2741 / PML[b] cap. Φ 2, 1

### II[1]2157 / K cap. Φ 2, 1

Τῆς Γενέσεως·

Εἶπεν Ἀβιμέλεχ πρὸς Ἰσαάκ· Ἄπελθε ἀφ᾽ ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα.

*II[2]2742 / PML[b] cap. Φ 2, 2

### II[1]2158 / K cap. Φ 2, 2

Τῆς αὐτῆς·

Ἤκουσεν Ἰακὼβ τὰ ῥήματα τῶν υἱῶν Λάβαν, λεγόντων· Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν ἐποίησε πᾶσαν τὴν δόξαν ταύτην. Καὶ <ε>ἶδεν Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν καθὼς χθὲς καὶ τρίτην ἡμέραν.

---

**1 – 2** Περὶ – κεκρατημένων] cf. II[1] / K[pin] Παραπομπὴ Ζ 1

---

**6 – 7 II[1]2157** Gen. 26, 16 **10 – 14 II[1]2158** Gen. 31, 1–2

---

**1 – 2 Titlos (a)** K (269v21–23) **3 Titlos (b)** V[E]V[O]; *deest in* V[W] H[I]A[I] *(lac. in* A[I pin]*)* **5 – 7 II[1]2157** K cap. Φ 2, 1 (269v[23]24–270r1); *deest in* V H[I] **9 – 14 II[1]2158** K cap. Φ 2, 2 (270r[1]2–7); *deest in* V H[I]

---

**II[1]2157** Γενέσεως] *scripsi*, κτίσεως K

---

**6** Ἀβιμέλεχ] *scripsi (LXX)*, ἀβιμελεχ K[a. c.], ἀβιμελὲχ K[p. c.] **12** εἶδεν] *scripsi (LXX)*, ἶδεν K

## II$^{1}$2159 / K cap. Φ 2, 3

*II$^{2}$2744 / PML$^{b}$ cap. Φ 2, 4

